# ΑΝΕΚΔΟΤΑ ΕΓΚΩΜΙΑ
# ΕΙΣ ΤΟΥΣ ΤΡΕΙΣ ΙΕΡΑΡΧΑΣ

Προτιθέμενος νὰ ἐκδώσω τύποις τὰ σῳζόμενα ἀνέκδοτα ἐγκώμια εἰς τοὺς τρεῖς Ἱεράρχας [1] συνήθροισα φωτογραφικὰ ἀποτυπώματα ἐκ τῶν κωδίκων, τῶν περιεχόντων αὐτά, καὶ ἐπὶ τῇ βάσει τούτων ἡτοίμασα πρὸς ἔκδοσιν τὰ κείμενα αὐτῶν. Ἐκ τῶν ἡτοιμασμένων τούτων κειμένων ἐξέδωκα ἐν τῷ ἀναμνηστικῷ τόμῳ τοῦ «Ἐκκλησιαστικοῦ Φάρου» Ἀλεξανδρείας [2], ἕνεκα τῶν στενῶν ὁρίων αὐτοῦ, μόνον τὸ ἀνέκδοτον ἐγκώμιον εἰς τοὺς τρεῖς Ἱεράρχας τοῦ Ἰωάννου Εὐχαΐτων, τὸ φέρον ἐπιγραφὴν «τοῦ σοφωτάτου μητροπολίτου Εὐχαΐτων Ἰωάννου ἐγκώμιον εἰς τοὺς ἐν ἁγίοις πατέρας ἡμῶν, Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν Θεολόγον καὶ Ἰωάννην τὸν Χρυσόστομον», ἐπὶ τῇ βάσει τοῦ κώδικος 262 τῆς Ἀμβροσιανῆς βιβλιοθήκης (φ. $340^{β}$ - $349^{β}$) καὶ τοῦ 153 Ω τῆς ἐν Ἄθῳ μονῆς τῆς ἁγίας Λαύρας (φ. $275^{α}$ - $282^{α}$). Συνεχίζων δ᾽ ἐνταῦθα τὴν ἔκδοσιν τῶν ἀνεκδότων τούτων ἐγκωμίων εἰς τοὺς τρεῖς Ἱεράρχας, ἐκδίδω κατωτέρω τὸ τοῦ Ματθαίου Καμαριώτου [3], ἐπὶ τῇ βάσει τῶν κωδίκων Paris. 817 (φ. $134^{β}$ - $146^{α}$) καὶ 1214 (φ. $1^{α}$ - $11^{β}$), ἐν τῷ πρώτῳ τῶν ὁποίων φέρει τὴν ἐπιγραφὴν «Τοῦ σοφωτάτου καὶ λογιωτάτου Ματθαίου τοῦ Καμαριώτου ἐγκώμιον εἰς τοὺς ἁγίους τρεῖς Ἱεράρχας, Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν Θεολόγον καὶ Ἰωάννην τὸν Χρυσόστομον», ἐν δὲ τῷ δευτέρῳ «Ματθαίου τοῦ Καμαριώτου ἐγκώμιον εἰς τοὺς ἁγίους τρεῖς Ἱεράρχας, Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν Θεολόγον καὶ Ἰωάννην τὸν Χρυσόστομον».

---

[1] Ἐκτὸς τῶν ἐκδεδομένων ἐγκωμίων εἰς τοὺς τρεῖς Ἱεράρχας, τοῦ τοῦ πατριάρχου Φιλοθέου (παρὰ Migne, τόμ. 154 σ. 767 - 820) καὶ τοῦ τοῦ Ἰωάννου Εὐχαΐτων, τοῦ ἐκδοθέντος τὸ πρῶτον (1852) ὑπὸ τῶν μαθητῶν τῆς θεολογικῆς σχολῆς τῆς Χάλκης ἐπὶ τῇ βάσει δύο κωδίκων, ἑνὸς τῆς θεολογικῆς σχολῆς τῆς Χάλκης καὶ ἑτέρου τῆς ἐν Ἄθῳ μονῆς τοῦ Βατοπεδίου, καὶ τὸ δεύτερον (1882) ὑπὸ τοῦ Παύλου de Lagarde ἐπὶ τῇ βάσει τοῦ κώδικος 676 τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ, εὕρηνται ἐν τοῖς κώδιξι καὶ τέσσαρα ἐγκώμια ἀνέκδοτα, ἤτοι 1) τοῦ Ἰωάννου Εὐχαΐτων, διάφορον τοῦ ἐκδεδομένου 2) τοῦ Νικολάου Καβάσιλα 3) τοῦ Ματθαίου Καμαριώτου καὶ 4) τοῦ Ἰωάννου Ψελλοῦ.

[2] Τόμ. 31 (1932) σ. 77 - 91.

[3] Περὶ τοῦ βίου καὶ τῶν ἔργων τοῦ Ματθαίου Καμαριώτου πρβλ. ἰδίᾳ Μ. Γεδεών, «Χρονικὰ τῆς πατριαρχικῆς ἀκαδημίας» (ἐν Ἐκκλ. Ἀληθ. ἔτ. Γ´ (1882) τεῦχ. Ζ´ σ. 106 ε), ἔνθα παρατίθεται καὶ ἡ σχετικὴ βιβλιογραφία.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

Ἐκ τοῦ περιεχομένου τοῦ ἐγκωμίου τούτου, ἰδίᾳ δὲ ἐκ τῶν ἐν τῷ ἐπιλόγῳ αὐτοῦ ἀναγραφομένων, γίνεται δῆλον ὅτι τοῦτο ἀπηγγέλθη ἐν Κωνσταντινουπόλει ὑπὸ τοῦ Ματθαίου τοῦ Καμαριώτου κατὰ τὴν ἑορτὴν τῶν τριῶν Ἱεραρχῶν [1] καὶ δὴ 1) πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Τούρκων (1453), περὶ ἧς οὐδένα ποιεῖται λόγον, καὶ 2) μετὰ τὴν ψευδῆ ἐν Φλωρεντίᾳ ἕνωσιν (1439)· ἑπομένως μεταξὺ τοῦ 1439 καὶ 1453, ὁπότε ἀναμφισβητήτως ὁ Ματθαῖος Καμαριώτης διέμενεν ἐν Κωνσταντινουπόλει. Ἀλλὰ καὶ ἀκριβέστερον ἔτι, ὡς νομίζω, δύναται νὰ προσδιορισθῇ ὁ χρόνος τῆς ἀπαγγελίας τοῦ ἐγκωμίου τούτου. Κατὰ τὰ λεγόμενα ἐν τῷ ἐπιλόγῳ ἡ ἐκκλησία ἐπιθυμεῖ τὴν εἰρήνην, ἧς ἀπὸ μακροῦ χρόνου ἔχει στερηθῇ [2]. Πρὸς τοῦτο πρέπει νὰ εὑρεθῶσιν ὡς διαλλακταὶ οὐχὶ οἱ τὰ τοῦ κόσμου τούτου φρονοῦντες καὶ ἐκ τοῦ κόσμου λαλοῦντες, οἵτινες μᾶλλον διασπῶσι καὶ διαιροῦσι τὴν ἐκκλησίαν, ἀλλ' οἱ τὰ τοῦ Θεοῦ [3]. Τὸ τοιοῦτον ὅμως εἶναι δυσχερέστατον κατὰ τὴν ἐποχὴν ταύτην, κατὰ τὴν ὁποίαν ἐπληθύνθη ἡ ἀνομία καὶ ἐψύγη ἡ ἀγάπη ἐπὶ τοσοῦτον «ὡς μηδὲ εὑρεῖν εἶναι τὸν εἰρηνικῶς τὰ μέλη συνδεῖν μέλλοντα καὶ εἰς μίαν κεφαλὴν τὴν τῶν ἁπάντων συνάγειν Χριστοῦ». Διὰ τοῦτο ταῖς ἐντεύξεσι τῶν τριῶν Ἱεραρχῶν πρέπει ἓν ἐκ τῶν δύο νὰ γίνῃ «ἢ τοῖς οὖσιν εἴη χρηστέον μεταβληθεῖσι πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν νῦν γοῦν, εἰ μὴ καὶ μήπω πρότερον, ἢ οἱ τοῦτο ποιεῖν μέλλοντες ἀντεισάγοιντο». Ἐκ τῶν ἀνωτέρω καταφαίνεται ὅτι τὸ ἡμέτερον ἐγκώμιον ἐξεφωνήθη ἐπὶ τῆς αὐτοκρατορίας τοῦ Ἰωάννου Η´ τοῦ Παλαιολόγου († 1448) πρὸ τῆς ἀναρρήσεως εἰς τὸν αὐτοκρατορικὸν θρόνον τοῦ Κωνσταντίνου τοῦ Παλαιολόγου (1449) καὶ ἐπὶ τῆς πατριαρχείας τοῦ Μητροφάνους (1440 - 1445) ἢ μᾶλλον τοῦ Γρηγορίου (1445 - 1450) πάντως πρὸ τῆς ἀναρρήσεως εἰς τὸν πατριαρχικὸν θρόνον τοῦ Ἀθανασίου (1450), ἑπομένως μεταξὺ τοῦ 1439 καὶ 1448.

Ἐκδίδων κατωτέρω τὸ ἐγκώμιον τοῦτο ἐπὶ τῇ βάσει τῶν ὑπ' ἀριθμὸν 817 καὶ 1214 χειρογράφων τῆς Παρισινῆς βιβλιοθήκης, παρατηρῶ ὅτι αἱ μεταξὺ αὐτῶν διαφοραὶ εἶναι ἐλάχισται, ἀνάξιαι λόγου.

---

[1] Ὡς γνωστὸν ἡ ἑορτὴ τῶν τριῶν Ἱεραρχῶν καθιερώθη ἐν τῇ ἀνατολικῇ ἐκκλησίᾳ κατὰ τὸ τέλος τοῦ ἑνδεκάτου αἰῶνος ἐπὶ Ἀλεξίου τοῦ Κομνηνοῦ πρὸς κατάπαυσιν τῶν ἐρίδων μεταξὺ ἰδίᾳ τῶν λογίων τοῦ Βυζαντίου περὶ τοῦ τίς τῶν τριῶν ὑπερέχει τῶν δύο ἄλλων. Ἐκ τοῦ ἡμετέρου λόγου καταφαίνεται ὅτι ἡ ἑορτὴ τῶν τριῶν Ἱεραρχῶν, ἡ καθιέρωσις τῆς ὁποίας ἐγένετο κατὰ τὸν ἡμέτερον συγγραφέα διὰ θείου φωτισμοῦ «μὴ ἀθεεὶ τοῦτο γενέσθαι μηδὲ ἀνθρωπίνης ἁπλῶς ἐπινοίας εὕρημα τὴν ἀρχὴν ὑπάρξαι τὸ διανόημα», ἔχει ἤδη πανταχοῦ διαδοθῆ καὶ ἐπικρατήσει «ἄλλως γὰρ μὴ ἂν εἰς πάντας διαδοθῆναι καὶ ἐπικρατῆσαι τὸ ἐνθύμημα».

[2] «Ἀλλὰ καὶ νῦν, ὡς καὶ πάλαι, τῆς ἐκκλησίας προέστητε πολεμουμένης κακῶς, εἰρήνην αὐτῇ βραβεύσατε, ἧς μακρὸν ἤδη χρόνον ἐρᾷ στερηθεῖσα».

[3] «Χρήσασθε διαλλακταῖς μὴ τοῖς τὰ κόσμου τοῦδε φρονοῦσι καὶ ἐκ τοῦ κόσμου λαλοῦσιν· οὗτοι γὰρ εἰσιν οὐχ οἱ συνάπτειν εἰδότες, ἀλλ' οἱ διασπᾶν ἐκμαθόντες· ὁρᾶτε γὰρ ὡς μᾶλλον διαιροῦσι καὶ κατατέμνουσιν ἢ συνάπτουσί τε καὶ εἰς μίαν ἁρμονίαν συνάγουσιν».

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

***Τοῦ σοφωτάτου καὶ λογιωτάτου Ματθαίου τοῦ Καμαριώτου ἐγκώμιον εἰς τοὺς ἁγίους τρεῖς Ἱεράρχας, Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν Θεολόγον καὶ Ἰωάννην τὸν Χρυσόστομον.***

Εἴπερ ἄλλο τι τοῖς τοῦ λόγου θεραπευταῖς καὶ λόγος ἐγκωμίων προσήκων· ὧν γὰρ τῆς ὠφελείας αὐτοὶ προέστησαν, ὑπὸ τούτων εὔλογον τιμᾶσθαι καὶ τὴν γινομένην εὐλογίαν προσίεσθαι, οὐχ᾽ ἵν᾽ ἐντεῦθεν αὐτῶν αὐτοὶ λαμπρότεροι δειχθεῖεν ἢ γένοιντο. Οὐ γάρ, οὐχ οἷόν τε τοῦτο τῶν ἁπάντων οὐδένα νομίζειν κἂν εἰς ἓν συνελθόντας ἅπαντας ὑφ᾽ ἓν συμβαίη τὴν εὐφημίαν συνεξυφήνασθαι· οἷς γὰρ ἐν οὐρανοῖς τὸ πολίτευμα τὴν γῆν ὑπεραναβᾶσι τί ἄν τις τῶν περὶ γῆν ἀναστρεφομένων καὶ γήϊνα φρονούντων εἰπὼν ἔτι τούτους λαμπροτέρους ἀποφήνειε καὶ ἐξεργάσαιτο. Ἀλλ᾽ ἵνα οἷς τε λέγειν ἔξεστι περὶ αὐτῶν καὶ ὅσοις τῶν λεγομένων ἀκροᾶσθαι συμβαίνει βελτίους αὐτῶν γίνοιντο τοῖς λόγοις ὡς πρὸς παράδειγμα χειραγωγούμενοι τοὺς εὐφημουμένους, εἰωθὸς ὂν ὡς τὰ πολλὰ πρὸς μίμησιν ὑπὸ τῶν λόγων ἐρεθίζεσθαι τῶν καλῶν καὶ τοὺς λέγοντας, οἷς συμβέβηκε λέγειν, καὶ τοὺς ἀκροωμένους, ὁπόσοις ἄκουσμα χάριεν ἡ τῶν καλῶν εὐλογία. Οἷς γὰρ ἐνασμενίζουσιν εὖ ἔχουσι λόγοις, πρὸ τῶν λόγων δήπουθεν τὴν πρᾶξιν τιμῶσι καὶ τὸν ζῆλον ἐπαινοῦντες τῆς μιμήσεως οὐ πάνυ τοι λείπεσθαι βούλονται αἰσχυνόμενοι καλῶς ἐχόντων πραγμάτων λόγοις μὲν ἐπιχαίρειν, ἔργα δὲ παραβαίνειν καὶ τῇ μὲν ἔξω καταστάσει τὸ γῆθος ὑποσημαίνειν, αὐτοὶ δὲ πρὸς ἑαυτοὺς ἀσυμφώνως ἔχειν τὰ ἔνδον ἐθέλειν. Εἰ γοῦν τοῦθ᾽ οὕτως ἔχειν εἰκὸς καὶ προσήκων ὁ τῆς εὐφημίας λόγος τοῖς τοῦ λόγου θεραπευταῖς οὐχ ὑπὲρ αὐτῶν, ἀλλ᾽ ὧν χάριν καὶ λέγεται καὶ ἀκούεται, ἐμοὶ μὲν ἔργον ἂν εἴη τὸ πρὸς δύναμιν ἤδη λέγειν, ὑμῖν δὲ μετὰ σπουδῆς προσέχειν τοῖς λεγομένοις, οὐχ ὑπό τινος οἱ λόγοι σκοποῦντας, ἀλλ᾽ ὑπέρ τινων λογιζομένους. Ἐμοί τε γὰρ οὕτως ἴσως ἵλεω ἂν γένοισθε, ὑμῖν τε προσήκοντα καὶ λισιτελῆ πράξαιτε καὶ τοῖς ἁγίοις χαριεῖσθε χάριν, αὖθις εἰς ἡμᾶς αὐτοὺς ἀνακάμπτουσαν. Ὡς μὲν μὲν οὖν πολλῶν ἕνεκα προσήκων ὁ λόγος τοῖς τοῦ λόγου θεραπευταῖς διὰ τοσούτων ὑμῖν ὑπομεμνήσθω τανῦν. Τί γὰρ δεῖ μηκύνειν, οἷς ἀρκεῖ καὶ βραχεῖα μόνον ὑπόμνησις τὴν ὠφέλειαν ἀφ᾽ ἑαυτῶν καὶ πρὸ ταύτης ὁρῶσι καὶ τοῖς ἄλλοις ἅπασιν ἑτοίμως ἔχουσι τὸ ἐπὶ σφίσι ταύτην προτείνειν. Ἴωμεν δὲ λοιπὸν ἐπὶ τὸν λόγον αὐτὸν αὐτοὺς ἀρωγοὺς ἐπικαλεσάμενοι τοὺς προκειμένους νῦν ἡμῖν εἰς λόγων ὑπόθεσιν. Τῆς γὰρ αὐτῶν ἄνευ ἐπικουρίας καὶ συμμαχίας οὐχ οἷοί τε πάντως ἂν εἴημεν τὸν ἆθλον διενεγκεῖν, κἂν εἰ κατ᾽ αὐτοὺς ἐκείνους εἴχομεν τὰ εἰς λόγους, καὶ ἐν τρισὶ μὲν γλώτταις, τοσούτοις δὲ στόμασι συνέβαινεν ἡμῖν τὴν εὐφημίαν συνείρειν. Εἰ δ᾽ οὕτως ἔχουσιν, οὐκ ἂν οἷόν τε ἦν καθ᾽ ἑαυτούς πως δεξιῶς τὸν ἆθλον διενεγκεῖν, τίς ἂν εἴην ἐγὼ σήμερον μίαν ἐπιφερόμενος γλῶτταν καὶ ταύτην, ὡς ὁρᾶτε, φαύλως

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

οὕτως ἔχουσαν περὶ λόγους ἢ δῆλον τὸ μέλλον πάντως ἐκβήσεσθαι, κἂν αὐτὸς ἐγὼ σιωπῶ, τὸ μηδ' ὃ παθεῖν εἰκός ἐστιν ἰσχύειν πως ἐξειπεῖν; Μόνως γὰρ ἂν ἦν ἡμῖν τὸ ἔργον ἀνύσιμον, εἰ αὐτοὶ παρόντες ἡμῖν ἔκ τινος ἀδήλως οἱ εὐφημούμενοι μηχανῆς τὴν σφῶν αὐτῶν εὐφημίαν συνεξεπόνουν. Ἀλλὰ δεῦτε μοι τὴν ἄνωθεν καὶ παρὰ τῶν ἁγίων ἐπευξάμενοι χάριν καὶ συμμαχίαν συνεξεργάσασθέ μοι τὸν λόγον, ὅσοις ὁ τῶν ἁγίων λόγος ὥσπερ τι πόμα σωτήριον ταῖς ψυχαῖς ἐγχυθεὶς ὡς ἀπὸ πηγῆς τινος ἀφθόνου καὶ διειδοῦς ἀρύεσθαι παρέχει τοῖς βουλομένοις χρῆσθαι τῷ νάματι.

Τριὰς ἡμῖν ἱεραρχῶν τὸ σήμερον εἰς εὐφημίαν προκείμενον καὶ λόγων ὑπόθεσιν. Τριάς, ἧς εὐαγγελικῶς εἰπεῖν οὐκ ἐξ αἱμάτων ἡ γέννησις οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ, ὃν πατέρα σφίσιν ἐπικεκλήκασί τε καὶ ἐπεγράψαντο, ᾧπερ εἰσποιηθέντες πίστει καὶ χάριτι τῷ τὸν αὐτοῦ λόγον καὶ λαβεῖν ἐν ἑαυτοῖς καὶ τοῖς ἄλλοις ἅπασιν ἐνσπεῖραί τε καὶ διδάξαι τέκνα Θεοῦ γεγένηνται τῇ δοθείσῃ σφίσι τῆς υἱοθεσίας ἐξουσίᾳ πάνυ χρησάμενοι δεξιῶς. Τοῦτο Βασίλειος ὁ μέγας, ἡ τοῦ πιστοῦ λαοῦ βάσις ὡς ἀληθῶς, ἐφ' ἧς ὁ βεβηκὼς οὐδέποτε σαλευθήσεται. Τοῦτο Γρηγόριος, ὁ γρήγορος καὶ ἔνθεος νοῦς, ᾧπερ ὁ προσέχων ὄντως ἐγρήγορε καὶ διὰ τοῦτο οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὕπνον, τὸν τῆς σωτηρίας ἀπάγοντα. Τοῦτο Ἰωάννης, ὁ τὴν γλῶτταν χρυσοῦς, ἡ κατ' ἀλήθειαν χάρις, ἧς οἱ ἀπολαύειν αἱρούμενοι χαρίεντες χρηματίζουσι τῷ Θεῷ καὶ χάριν πλουτοῦσιν, ἧς τῶν ἁπάντων οὐδὲν χαριέστερον ἢ τιμιώτερον. Τούτους ὑμνεῖν προϊστάμεθα σήμερον. Τούτοις ὁ ἡμέτερος οὑτοσὶ λόγος ἀναφέρει τὴν εὐφημίαν. Τούτων ἄγομεν μετ' ἐγκωμίων τὴν μνήμην, οἷς ἡ εὐλογία παρὰ Κυρίου ὑπὲρ κεφαλῆς κατακέχυται. Οὗτοι τὴν κάτω καὶ χαμερπῆ καὶ σαρκικὴν παραιτησάμενοι γέννησιν καὶ τέκνα καλεῖσθαι πατέρων ἐπιγείων ἀπανηνάμενοι, ὅλοι δ' ὅλως τῆς ἄνω γεγεννημένοι, καθ' ἣν καὶ τέκνα Θεοῦ χρηματίζουσιν, ὡς ὁ τῆς βροντῆς υἱὸς ἐκήρυξε τῷ πνεύματι προλαβών. Καὶ διαφόρων μὲν ἐκπεφυκότες γονέων καὶ τόπων, ἐπειδή περ ἔδει λειτουργῆσαι τῇ φύσει καὶ τῷ θεσμῷ τῆς γεννήσεως, εἰς ἕνα δ' ἀναφέρειν ἔχοντες, ὃν καὶ γνησίως τῇ τοῦ πατρὸς προσηγορίᾳ ἐπικεκλήκασι καὶ ἀδελφοὶ μὲν ἀλλήλοις οὕτως ὑπάρξαντες, καλεῖσθαι δὲ τοῦτο καθάπαξ ἀξιωθέντες καὶ παρὰ τοῦ υἱοῦ τοῦ Θεοῦ τῷ τοῦ αὐτοῦ πατρὶ εἰσποιηθῆναι καὶ λοιπὸν καὶ υἱοὶ Θεοῦ γεγενῆσθαι καθ' ὃ καὶ ὁ τοῦ Θεοῦ υἱὸς αὐτός, αὐτοὺς ἀδελφοὺς κατωνόμασεν, ἀδελφοί μου λέγων εἰσὶν οἱ ἀκούοντες καὶ φυλάττοντες τὸν τοῦ πατρός μου λόγον ἐν ἑαυτοῖς.

Οὗτοι τοίνυν τοῦτο γενόμενοι καὶ υἱοὶ Θεοῦ κληθέντες καὶ χρηματίσαντες οὐδὲ δουλεύειν ἐγκωμίων νόμῳ προσίενται. Οἷς γὰρ ἡ γέννησις ἄνωθεν, τί ἄν τις τὰ κάτω περιεργαζόμενος τούτους αὖθις ἐπιχειροίη καταβιβάζειν ἀφ' ὕψους εἰς τὴν ταπείνωσιν. Καίτοι καὶ εἴτις κἀντεῦθεν αὐτοὺς ὑμνεῖν προῃρεῖτο, θᾶττον ἂν αὐτῷ ἐπιλείποι τὸ λέγειν ὅλως ἢ ἔχειν ὅ,τι περ ὑπὲρ αὐτῶν λέγοι, εἰ μὴ τρόπον ἕτερον ἐνταῦθα τὰ τῆς ἀπορίας συμβαίη τῷ ἀδυνάτως

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

ἔχειν ἐφαμίλλους τοῖς πράγμασιν ἀποδιδόναι τοὺς λόγους. Ἡττᾶται γὰρ κἀνταῦθα λόγος ἅπας αὐτοῖς προσφερόμενος καὶ πολλοὶ πολλοὺς ὑπὲρ ἑκάστου καὶ πάνυ δεξιῶς ἔχοντας καταβέβληνται, ἐφικνεῖται δ' ὅμως τῆς ἀξίας οὐδείς. Τούτους εἰ καθ' ἕνα νῦν ἀπολαβὼν ἐπαινοίης, ὥσπερ δὴ νόμος ἐγκωμίων, οὐ καταδέξονται, οὐ μόνον ὅτι τοῦτο προλαβὸν γεγένηται σφίσι καὶ καιρὸς ἑκάστῳ τῶν ἐπαίνων καὶ τῆς εὐφημίας ἀφώρισται ἴδιος, ἀλλ' ὅτι καὶ διιστᾶν συμβαίνει τὰ τῆς συγγενείας αὐτοῖς μὴ πεφυκότα διίστασθαι καθ' αὑτά. Οὐ γάρ ἐστιν ὑπεροχὴ καὶ ὕφεσις παρ' αὐτοῖς, οὐ τὸ πλέον καὶ ἔλαττον καὶ μεῖζον καὶ μεῖον, ἀλλ' ἕκαστος ἑκάστῳ ἴσος καὶ πάντες ἀλλήλοις καὶ ἑαυτοῖς, εἰ μὴ τοῦτο φαίη τις πλεονεκτεῖν ἕκαστον τῶν λοιπῶν τὸ πλέον ἐμφιλοτιμεῖσθαι ταῖς πνευματικαῖς ἀναβάσεσιν ἐπεκτείνεσθαι καὶ πάντας πρὸς τὸν ὅμοιον αὐτοῖς ζῆλον τῶν καλῶν παραθήγειν. Ἀλλὰ κἂν τούτῳ τὸ ἴσον συνάγεται ὡς μηδαμοῦ προσήκειν αὐτοῖς τὸ μεῖζον ἢ ἔλαττον καὶ τὴν ὑπεροχήν τε καὶ ὕφεσιν ἢ ὅ,τι τις ἄλλο τῶν ἁπάντων ἐθέλοι κατονομάζειν. Μαρτυρεῖ μοι τῷ λόγῳ καὶ ὁ λόγος αὐτῶν· οὗ γὰρ ἂν ἂν ἀνὰ χεῖρας ἑκάστοτε φέροις τὴν βίβλον, τούτῳ πάντως τὸ μεῖζον δίδως, ὡς τὸν ἕνα τοῖν δυοῖν ὑπερτιθέναι, εἶτ' αὖθις τοῖν δυοῖν τὸν ἕτερον καὶ τὸν λοιπὸν τῶν λοιπῶν καὶ τοῦθ' οὕτως ἀεὶ καὶ ἄλλως οὐδέποτε. Οὕτως εἰσὶ παραπλήσιοι καὶ ἴσοι πάντες ἀλλήλοις καὶ ἑαυτοῖς, ὡς μηδὲ τὰ τῶν ἐπαίνων ἀπονέμεσθαι μεμερισμένως σφίσιν ἀνέχεσθαι. Τοιγάρτοι καὶ λίαν ἐπαινῶ καὶ ὑπερασπίζομαι τὸν πρώτως ἐπὶ νοῦν βαλλόμενον εἰς ἓν συναγαγεῖν τὴν μνήμην τῶν καθάπαξ ἓν πεφυκότων καὶ μίαν ἀποδοῦναι καὶ συγκροτῆσαι πανηγύρεως ἑορτήν, ἵν' ὑφ' ἓν ὑμνεῖν εἴη τοὺς ἓν γεγενημένους τῷ πνεύματι καὶ πείθομαι μὴ ἀθεεὶ τοῦτο γενέσθαι μηδ' ἀνθρωπίνης ἁπλῶς ἐπινοίας εὕρημα τὴν ἀρχὴν ὑπάρξαι τὸ διανόημα, ἀλλ' ᾧπερ εἰσεποιήθησαν, τοῦτον ἐπὶ νοῦν ἀνθρώπινον τοῦτο βαλεῖν, ὃς εἶχεν εὖ λελειτουργηκέναι τῷ ἐπιτάγματι. Ἄλλως γὰρ μὴ ἂν εἰς πάντας διαδοθῆναι καὶ κρατῆσαι τὸ ἐνθύμημα. Ἐχρῆν γὰρ καὶ μίαν καὶ κοινὴν συγκεκροτεῖσθαι πανήγυριν, οἷς κοινὴ μὲν ἡ τῶν περιγείων ἐπίσης ὑπεροψία, κοινὸν δὲ τῆς ἐργασίας τὸ τάλαντον, κοινὴ δὲ τῶν προσεχόντων αὐτοῖς ἡ ὠφέλεια, κοινὸν δὲ καὶ τὸ τῆς υἱοθεσίας καὶ ἀναγεννήσεως χάρισμα, ἵνα καὶ κοινὴν περὶ αὐτῶν καὶ μίαν ἔχωμεν ἄνθρωποι δόξαν, ὅπερ ἴσως ἐπ' ἔλαττον ἂν ἦν, εἴ γε μὴ τοιουτό τι ἐπενενόητο τὴν ἀρχήν. Καὶ τοίνυν ἡ μὲν γέννησις αὐτοῖς· δεῖ γὰρ αὖθις ἐπανελθεῖν, ὅθεν ὁ λόγος ὑποσημαίνει, πρὸ δὲ τοῦ λόγου μᾶλλον ὁ εὐαγγελιστὴς Ἰωάννης ὅσοι λέγων ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς αὐτόν, τῇ δὲ γεννήσει καὶ ἡ πολιτεία πάντως ἀνάλογος καὶ τὸ ἐνδιαίτημα τῇ πολιτείᾳ προσῆκον. Ὁ γὰρ οὐρανὸς αὐτοῖς πολίτευμά τε καὶ ἐνδιαίτημα, οὗ τῇ ψυχῇ βαίνοντες τὰ τοῦ Θεοῦ φρονοῦντες ἦσαν, οὗ λέγεται θρόνος ὁ οὐρανός, ὅντινα δὴ τὸν θρόνον τοῦτον ὑποληπτέον. Οἶμαι δὲ τὸ τῇ ἀγγελικῇ καθαρότητι καὶ τῇ κατ' ἀνθρώπους ἐξ ἀρετῆς αἰνίττεσθαι χαίρειν τε καὶ ἐπαναπαύε-

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

σθαι τὸν Θεόν, καθὸ καὶ ἡ γῆ τῶν αὐτοῦ ποδῶν ὑποπόδιον εἴρηται, πρὸς τούτοις ἔτι καὶ τὴν συνεκτικὴν αὐτοῦ τῶν πάντων δύναμιν ὑποδεικνύντος τοῦ λόγου· τῷ γὰρ τοῦ θρόνου τε καὶ τοῦ ὑποποδίου ὀνόματι βάσις τις ὑποσημαίνεται καὶ ἑδραίωσις, τὴν δὲ συνοχὴν ἡ βάσις παραδηλοῖ. Ἐν οὐρανοῖς τοίνυν τοῖς ἁγίοις τὸ ἐνδιαίτημα ἔτι τὴν γῆν περιπολοῦσι τῷ σώματι, ὡσὰν μηδὲ κατὰ τοῦτο λίαν ἀπάδοιεν, ᾧπερ υἱοθετήθησαν τὴν ἀρχήν. Ὡς γὰρ ἐκείνῳ θρόνος μὲν ὁ οὐρανός, ἡ δὲ γῆ ὑποπόδιον, οὕτως σφίσιν ἡ γῆ μὲν ἀπενεμήθη τῷ σώματι, τῇ δὲ ψυχῇ βαίνειν ἐξῆν ἐν οὐρανοῖς, οὗ πολιτευόμενοι ταῖς θείαις ἐνηγάλλοντο θεωρίαις καὶ τρυφὴν ἐτρύφων, τὴν μόνην ἀληθῶς ἀγήρω καὶ μαραινομένην οὐδέποτε. Δυοῖν γὰρ τοῦ τῶν ἀνθρώπων βίου τελειουμένου, πράξει τε καὶ θεωρίᾳ, ὧν αὖθις ὡς εἰς τέλος ἡ πρᾶξις ἀποβλέπει τὴν θεωρίαν, δυσὶ τούτοις καὶ σφεῖς τὸν βίον σφῶν αὐτῶν συνεκρότουν. Καὶ τῇ μὲν πράξει τὸ σῶμα καθαίροντες εὐπετῶς αὐτῷ χρῆσθαι τὴν ψυχὴν παρεσκεύαζον, τῇ θεωρίᾳ δὲ τῇ ἀληθείᾳ τὴν ψυχὴν προσβιβάζοντες ἡνίοχον ἐδίδουν ταύτην τῷ σώματι, ὃς ὡς ἐφικτὸν ἀνθρώπῳ συμμετεωρίζειν εἶχεν αὐτὸ πρὸς τὰ ὑπερκόσμια, μᾶλλον δὲ δι᾽ ἀμφοῖν, πράξεώς τε καὶ θεωρίας, ἄμφω ψυχήν τε καὶ σῶμα τοῦ ὑπερουρανίου χώρου παρασκευάζοντες ἄξια καὶ πτεροῖς ὥς τισι χρώμενοι ταῖς κατὰ ἀρετὴν προκοπαῖς τε καὶ ἀναβάσεσιν ἢ ὥς τι κολποῦντες ἱστίον εὐφόρῳ πνεύματι τῷ τῆς ψυχικῆς καθαρότητος, διηνήχοντο μὲν ὑπὲρ τὸν αἰθέρα, διέπλεον δὲ τῶν ὑπερουρανίων τὸ κῦτος ἀψίδων, αὐτοῖς δὲ τοῖς κατ᾽ οὐρανὸν ἐτύγχανον ἐνδιαιτώμενοί τε καὶ ἐνηδόμενοι θαύμασι καὶ ὅλως ὅλοι μετέωροι γινόμενοι ταπεινὸν οὐδὲν ἐφρόνουν οὐδὲ γηΐνοις οὐδόλως ἐοικότες ἦσαν χρώμενοι σώμασιν, εἰ καὶ ἄλλως ἑαυτοὺς περίψημά τε καὶ ἔκτρωμα, τὸ τοῦ ἀποστόλου, καὶ ὅ τι τούτων ἔχοι τις ἂν ἐννοῆσαι ἢ εἰπεῖν εὐτελέστερον ἐνόμιζόν τε καὶ κατωνόμαζον, ἐκείνως μὲν ἐπεκτεινόμενοι τῷ τῆς ψυχικῆς ἀναβάσεως πλάτει, οὕτω δὲ τὸν τύφον ἀποδιοπομπούμενοι καὶ τὸ ψυχικὸν συστέλλοντες φρόνημα μὴ λαθόν που παρενεχθὲν τῷ πνεύματι τῆς οἰήσεως ἀφ᾽ ὕψους τοῦ τῆς ἀρετῆς εἴς τινα περικρουσθῇ τῆς ἀπωλείας σπιλάδα καὶ περιρρήξῃ τὸ σκάφος εὔπλοοῦν καὶ τὸν ἐμφερόμενον πολύτιμον μαργαρίτην τῷ βυθῷ παραπέμψῃ, ὅπερ ἐν εὐαγγελίοις παθεῖν λέγεται Φαρισαῖος ἑνὶ τῷ τῆς ὑπερηφανείας ῥήματι σύμπαν ἄρδην τὸ σκάφος περιτρέψας τῆς ἀρετῆς καὶ τὸν πολὺν ἐκεῖνον πλοῦτον ὑφ᾽ ἓν τῷ βάθει τῆς κακίας ὑποβρύχιον παραδούς. Μὴ οὖν τι τοιοῦτον δεδιότες καὶ ἐπὶ σφῶν αὐτῶν συμβὰν λάθῃ, καίτοι τὸν οὐράνιον ἐκεῖνον ἐμβατεύοντες χῶρον, οὐδέσιν ἄλλοις ταπεινοτέροις εἶναι δοκεῖν κατελίμπανον ἐφοδίῳ καὶ τούτῳ πρὸς τὴν ψυχικὴν ἐν οὐρανοῖς ἀνάβασιν χρώμενοι, ἐπειδή περ οὐδὲν οὕτως ὡς τὸ ταπεινά τινα περὶ αὐτοῦ φρονεῖν πέφυκε μετεωρίζειν πρὸς πολιτείαν τὴν ὑπερουράνιόν τε καὶ ἔνθεον. Ὡς γὰρ τὸ τοῦ ἐναντίου βρῖθος τὸν χρώμενον καταβιβάζει πρὸς ἐσχάτην ταπείνωσιν, ὡς μολυβδὶς ὑπὸ βυθὸν τὸ δίκτυον βρύχιον, κἂν πᾶσαν ἄλλην ἀρετὴν ἐν ἑαυτῷ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

περιφέρῃ φιλονεικοῦσαν κουφίζειν καὶ μετεωρότερον τίθεσθαι, οὕτως ἡ ταπείνωσις ἐπαίρειν οἶδε πρὸς ὕψος καὶ τὸ ὑπερουράνιον, κἂν ἄλλως πένης ᾖ τις κατὰ τὸν τελώνην ἐκεῖνον, λέγει δ' ὅμως κατ' ἐκεῖνον μετὰ τοῦ μηδὲ τὸ ὄμμα πρὸς τὸν οὐρανὸν αἴρειν ἐθέλειν, ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Εἰ δὲ τὸν ἔχοντα πρὸς οὐρανὸν αὐτὸν ἡ ταπείνωσις αἴρουσα τίθησι, κἂν τύχῃ τις πενέστατος ὢν τὴν ψυχικὴν βελτίωσίν τε καὶ καθαρότητα, τί χρὴ περὶ τῶν πάσῃ κεχρημένων ἀρετῇ φαντάζεσθαι, ἢ δῆλον ὡς αὐτῷ Θεῷ φέρουσα παριστᾷ, δι' ὃν ὑψηλοὶ τυγχάνοντες ἄλλως ταπεινὰ φρονεῖν ὅμως εἵλοντο τὴν αὐτοῦ πτωχείαν μιμούμενοι. Τοιαύτη μὲν ἡ γέννησις τοῖς ἁγίοις καὶ τοιοῦτον τὸ ἐνδιαίτημα θέσει θεοῖς τῇ χάριτι χρηματίσασι καὶ Θεοῦ υἱέσιν εἶναι τε καὶ καλεῖσθαι κριθεῖσιν ἀξίοις τῷ τῇ ἐξουσίᾳ τῆς υἱοθεσίας πάνυ χρήσασθαι δεξιῶς καὶ ὡς οὐδ' ἂν ἐνεῖναι βέλτιον διανοηθῆναι.

Τροφὴ δ' αὐτοῖς ἴδωμεν εἰ τῇ γεννήσει κατάλληλος· χρῆναι γὰρ οἶμαι συμφωνεῖν ἀλλήλοις γέννησιν καὶ τροφὴν καὶ συγγενῆ ταυτὶ τυγχάνειν ἀλλήλοις καὶ τοῦτό γε ὂν πάντως τὸ τρέφεσθαι τὸ τὴν γέννησιν συντηρεῖν καὶ μὴ ἐᾶν διαφθαρῆναι τὸ ἐφ' ἑαυτῷ τὸ καθάπαξ γενόμενον. Μὴ συγγενοῦς δὲ τῷ γενομένῳ παρασχεθείσης τροφῆς οὐ μόνον οὐκ ἔσται τὸ τὰ τῆς τροφῆς μὴ ἐνεργηθῆναι, ἀλλὰ καὶ προσδιαφθαρήσεται τὸ παρὰ φύσιν ταύτῃ γε κεχρημένον. Οὐ γὰρ ὑοσκυάμῳ γε τὸν ἄνθρωπον θρέψεις, οὐδὲ κώνειον ἐγχειριεῖς πρὸς πόσιν αὐτῷ, οὐ γὰρ δὴ συντηρήσεις γε τούτοις, ἀλλ' ἀνελεῖς πάντας, ᾧ τὴν τράπεζαν παραθήσεις ἐκ τῶν τοιούτων· τίς οὖν ἂν εἴη τροφὴ τοῖς ἁγίοις κατάλληλος ἄνωθεν γεννηθεῖσι καὶ πατέρα καταξιωθεῖσιν ἐπικαλεῖσθαι γνησίως, ὃν ὑπὸ τοῦ υἱοῦ τοῦ Θεοῦ καλεῖν ἐπετράπησαν, οὐκ ἐπαισχυνομένου καλεῖν αὐτοὺς ἀδελφοὺς τῷ τε τῷ αὐτοῦ φύσει πατρὶ εἰσποιηθῆναι, πίστει τε καὶ τῇ αὐτοῦ τοῦ λόγου παραδοχῇ καὶ τῷ τὸν ἁγιάζοντά τε καὶ αὐτοὺς τοὺς ἁγιαζομένους κατὰ τὸν ἀπόστολον ἐξ ἑνὸς εἶναι. Τίς οὖν ἡ νῦν ἡμῖν σκοπουμένη τοῖς ἁγίοις τροφή; Μήποτε οἵα γένοιτο ἂν ἁρμοδία περὶ γῆν ἔτι στρεφομένοις καὶ γήϊνα φρονοῦσιν, ὑψηλὸν δ' οὐδὲν οὐδέπω σκοπουμένοις τε καὶ διανοουμένοις, μὴ ὅτι γε δὴ καὶ ποιοῦσιν; Ἀλλ' ἐκ γῆς αὕτη τυγχάνουσα εἰκότως καὶ γηΐνοις ἐνδίδοται καὶ γῇ παραδίδωσιν αὖθις ὅσοις ταύτῃ μόνῃ τρέφεσθαι πρόθεσις, οἷς δὲ συμβέβηκεν ὑπεραναβᾶσι τὴν γῆν αὐτοῖς τοῖς κατ' οὐρανὸν ἐνδιαιτᾶσθαι σκηνώμασι, πῶς δοτέον ἔτι τούτοις τοῖς αὐτοῖς τρέφεσθαι, οἷς οἱ περὶ γῆν τε καὶ ταπεινοί· οἱ γὰρ ἐκ γῆς ἔτι τρεφόμενοι γηΐνοις ἐναριθμοῖντ' ἂν καὶ οὐκ ἐπαληθεύσει σφίσι τὰ τῆς ἄνω γεννήσεως καὶ γεννηθεῖσιν ἄνωθεν ἐκ τοῦ αὐτοῦ γένους. Ἐπιζητητέον καὶ τὴν τροφήν, εἴ γε μέλλει κατάλληλος εἶναι καὶ τῷ ὄντι περιούσιος ἄρτος, ὃν καὶ παρὰ τοῦ ἐν οὐρανοῖς πατρὸς ἐπιζητεῖν ἐπιτέτραπται καθ' ἑκάστην. Τίς οὖν οὗτος ὁ ἄρτος ἢ δῆλον ὡς ὁ τοῦ Θεοῦ υἱός, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐγὼ γάρ φησίν, εἰμὶ ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. Τούτῳ παρὰ τοῦ πατρὸς οὐρανόθεν καταβάντι καὶ τῷ κόσμῳ δοθέντι τραφέντες, ὕδατί τε

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

ποτισθέντες ἁλλομένῳ εἰς ζωὴν αἰώνιον, οὗπερ ὁ πιὼν οὐ διψήσει εἰς τὸν αἰῶνα, οὐδ᾽ ὁ τὸν ἄρτον φαγὼν οὐκέτι πεινήσει λοιπόν. Ταύτῃ τοίνυν τῇ οὐρανίῳ τραφέντες τροφῇ αἰώνια ζῶσι τῷ αἰωνίῳ συνδιαιωνίζοντες βασιλεῖ· ὡς γὰρ τὸν φθαρτῆς μετειληφότα τροφῆς καὶ μὴ διαμενούσης, φθαρτῆς οὐσίας τυγχάνοντα, μὴ ἐσαεὶ διαμένειν οἷόν τε, κἂν ἐπὶ μήκιστον αὐτῷ τὰ τῆς ζωῆς μέτρα παραταθείη, ἀλλ᾽ ἀνάγκη λελειτουργηκότα τῷ τῆς φύσεως νόμῳ ἀπὸ γεννήσεως μεταπεσεῖν εἰς φθορὰν λεληθότως πως καὶ κατὰ μικρὸν φθίνοντα, οὕτω τὸν διαιωνίῳ καὶ διαμενούσῃ καὶ ἀϊδίῳ τροφῇ κεχρημένον καθάπαξ ἀμήχανον μὴ διαιωνίζειν τε καὶ ἐσαεὶ διαμένειν καὶ μετέχειν ἀϊδιότητος. Οἰκεῖον μὲν γὰρ τοῖς μὲν φθαρτῆς μετειληφόσι τροφῆς πάντως τὸ φθίνειν, τοῖς δ᾽ ἀφθάρτου τε καὶ ἀθανάτου καὶ ἀεὶ διαμενούσης, τούτοις διαιωνίως ζῆν ἐν ἀϊδίῳ διαμένοντας ἀφθαρσίᾳ, καὶ οὐχ οἷόν τε τῷ ζῶντι τραφέντας ἄρτῳ καὶ τῷ ἁλλομένῳ ποτισθέντας ὕδατι, ὅθεν οὐκ ἔστιν εἰς τὸν αἰῶνα πεινῆσαί τε καὶ διψῆσαι, θάνατον ἐπισπάσασθαι καθάπαξ δικαιωθέντας τε καὶ ἀθανατισθέντας, καθ᾽ ὃ καὶ εἴρηται τὸ τοὺς δικαίους εἰς τὸν αἰῶνα ζῆν, ἐν Κυρίῳ τε τὸν μισθὸν ἔχειν καὶ τὴν φροντίδα παρὰ τῷ ὑψίστῳ λήψεσθαί τε διὰ τοῦτο τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὁ γὰρ ἐκ τοῦ οὐρανοῦ καταβὰς διὰ τοῦτο δήπουθεν κατελήλυθεν, ἵνα αὖθις ἀναβὰς ἑλκύσῃ πρὸς ἑαυτὸν τοὺς πεπιστευκότας αὐτῷ καὶ τῷ πνεύματι καταλλάξῃ τοὺς ἐπταικότας καὶ υἱοὺς ἀντὶ φυγάδων ἐργάσηται. Ἡ τοίνυν ἱερὰ τριὰς τῶν ἱερῶν τῆς μακαρίας καὶ ὑπερουσίου Τριάδος ἱεραρχῶν τῇ οὐρανόθεν καταβάσῃ τεθραμμένη τροφῇ, ταύτῃ τε δικαιωθεῖσα πρός τε τὸν οὐρανὸν ἀνελκυσθεῖσα καὶ τῷ τῆς υἱοθεσίας ἀξιώματι τιμηθεῖσα ζῇ μὲν εἰς τὸν αἰῶνα καὶ ἐν Κυρίῳ τὸν μισθὸν ἔχει καὶ τὴν φροντίδα παρὰ τῷ ὑψίστῳ, εἴληφε δὲ τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, αὐτῷ συμβασιλεύουσα εἰς τὸν αἰῶνα. Ἐτράφησαν μὲν οὖν, ὡς εἴρηται, τῷ ὑπερουρανίῳ ἄρτῳ καὶ ὕδατι καὶ σφίσιν ἡ οὐσία πρὸς τὴν τῆς τροφῆς μεταπεποίηται φύσιν ἀνθρώποις οὐρανίοις καὶ θέσει θεοῖς χρηματίσασιν, ὅπερ ὁ θρέψας κατὰ φύσιν, τοῦτο κατὰ μέθεξιν γενομένοις, ὃ καὶ παράδοξον τὸ τρεφόμενον τὴν φύσιν τῆς τροφῆς ὑπελθεῖν τε καὶ πρὸς ταύτην μεταβαλεῖν. Τοὐναντίον γὰρ ὁρῶμεν γινόμενον ἐπὶ πάντων τῶν ἐν γενέσει τε καὶ φθορᾷ τὴν τῆς τροφῆς φύσιν εἰς τὴν τοῦ τρεφομένου μεθισταμένην καὶ ὅπερ τὸ τρεφόμενον, τοῦτο καὶ αὐτὴν γινομένην, ἀλλ᾽ οὐχ ὅπερ τὸ τρέφον καὶ τὸ τρεφόμενον, ἥτις δὴ φύσις τῆς ὑφ᾽ ἡμῶν θεωρουμένης τροφῆς· πρὸς ἑαυτὴν γὰρ μεταβάλλει τὸ ταύτης μετειληφός, οὐ πάσχουσά τι παρὰ τοῦ μετασχόντος αὐτῆς, ἀφθαρτίζουσα δὲ κἀκεῖνο καὶ ὅπερ αὐτὴ κατὰ φύσιν, τοῦτο ἐκεῖνο κατὰ μέθεξιν ἀπεργαζομένη. Ἐτράφησαν μὲν οὖν, ὡς εἴρηται, καὶ τὴν ἀνθρωπίνην ὑπεραναβεβήκασι φύσιν. Κατανοοῦσι δὲ λοιπόν, οὐράνιοι γεγενημένοι, τὰ ἐκεῖ μυστήρια καὶ τί μὲν οἰκονομία, τί δὲ θεολογία διδάσκονται καὶ πῶς μὲν ἔχει πρὸς ἑαυτήν τε καὶ τὰ ἔνδον αὐτῆς ἡ Τριάς, πῶς δὲ πρὸς

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

τὰ ἔξω τε καὶ τὰ ὑπ᾽ αὐτὴν καὶ τί μὲν ἰσότης τε καὶ ταυτότης ἐν αὐτῇ, τί δὲ ἑτερότης καὶ τίνα μὲν ἰσότητα παραδεκτέον καὶ ἑτερότητα, τίνα δ᾽ ἀπορριπτέον, ὡς ἐπισφαλῆ καὶ εἰς κρημνὸν ἀπωλείας κατάγουσαν. Πρὸς δὲ τούτοις ἔτι τί μὲν οἰκονομία μυοῦνται καὶ ἐνανθρώπησις, τίς δὲ τῆς οἰκονομίας σκοπὸς καὶ πῶς ὁ ἐνανθρωπήσας, ὅπερ ἦν θεὸς μείνας, ὃ οὐκ ἦν προσελάβετο γενόμενος ἄνθρωπος, τοῦτό τε κἀκεῖνο τελείως ὑπάρξας μετὰ τοῦ τετηρηκέναι τὰ ἑκατέρας ἀσυγχύτως ἰδιώματα φύσεως, τί τε κατώρθωσεν ἐνανθρωπήσας καὶ ὡς τὴν τῆς θεώσεως ἀποπεσοῦσαν φύσιν αὖθις ἀπεθέωσε καὶ εἰς οὐρανοὺς ἀναβιβάσας τῷ πατρὶ συνεκάθισε, τοῦ τυραννοῦντος τῶν χειρῶν ἀφαρπάσας αὐτήν. Ταῦτά τε τοίνυν ἐκεῖθεν καὶ παραπλήσια τούτοις μυοῦνται καὶ μυοῦσι πάντας τὰ εἰ μὴ διὰ τούτους, ἵν᾽ εἴπω τι καὶ τολμηρότερον, σχεδὸν ἄν, εἰ καὶ μὴ πᾶσι, τοῖς γέ τοι πλείστοις ἀγνοηθέντα, καὶ βοηθοῦσι τῇ φύσει βοηθήματα σφόδρα κατὰ σκοπὸν τῷ πράγματι τῆς οἰκονομίας, οὗπερ εἰ μὴ ἐτετυχήκει, δότε μοι τολμηρῶς εἰπεῖν, ῥιψοκίνδυνος γάρ τις, ὡς ὁρᾶτε, νῦν ἐγὼ τῷ ἔνθους, ὥσπερ ὑφ᾽ ἡδονῆς, γεγενῆσθαι, ἢ δευτέρας ἂν ἐδέησεν οἰκονομίας, ἢ τὸ δ᾽ ἐφεξῆς ἄμεινον εἰσεβοῦντι σιγῇ κρύπτεσθαι, ὅπερ οὐδὲ συγκεχώρηται δεινῶς εἰς τέλος ὑποστῆναι τὴν φύσιν. Καὶ μή με οἰέσθω τις τῷ μυστηρίῳ τῆς οἰκονομίας ἐμπαροινοῦντα τοῦτον ταῦτα λέγειν τὸν τρόπον. Μὴ οὕτω μανείην. Ἀλλὰ καὶ τοῦτο τῇ οἰκονομίᾳ λογίζομαι· μὴ γὰρ ἐνανθρωπήσαντος τοῦ Θεοῦ λόγου, πείθομαι μηδ᾽ ἂν τούτους τῷ φωτὶ τῆς γνώσεως φωτισθέντας τὴν ἀλήθειαν ἐπεγνωκέναι, ὡς τὸ ψεῦδος διαμείψασθαι ταύτης, ἀλλὰ καὶ αὐτοὺς ἐν ζόφῳ, τῷ τῆς ἀγνωσίας τε καὶ ἀθεΐας, παραπλησίως τοῖς ἄλλοις διαμεμενηκέναι, ἢ εἰ καὶ ἐφωτίσθησαν ἄν, ὡς ἔνιοι πρὸ τῆς χάριτος, ἀλλ᾽ ἀμυδρότερον καὶ οὐχ ὅσον νῦν ὥστε καὶ λαμπτῆρας γενέσθαι φωτίζειν ἔχοντας περιφανῶς τὴν περίγειον. Καὶ τὸ κατὰ τοὺς ἁγίους οὖν τῷ μυστηρίῳ τῆς οἰκονομίας λογίζομαι καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πᾶς εὐσεβεῖν ᾑρημένος καὶ διαιτᾶν ὑγιῶς δυνάμενος πράγμασιν· ἐχρῆν γὰρ τὸν τοῦ Θεοῦ λόγον τὴν ἀνθρωπίνην ἀναπλάττοντα φύσιν καὶ τὴν ταύτης σωτηρίαν πραγματευόμενον δι᾽ αὐτοῦ, ὀργάνοις χρήσασθαι, δι᾽ ὧν εἶχεν ἂν εὐπαραδεκτότερον ἀνθρώποις τὸν λόγον τῆς οἰκονομίας καὶ τὸ κήρυγμα τοῦ κατ᾽ αὐτὴν μυστηρίου παρασκευάσαι· μηδὲ γὰρ ἂν ὑποδέξασθαι ῥαδίως αὐτὸ μὴ τοιούτου γεγονότος τινός, ἔχειν δ᾽ ἂν καὶ τοὺς ἀπωσαμένους τὸ μυστήριον λόγον ἀποφυγῆς, εὔλογον ἴσως τὸ τοῦ πράγματος ὑπερφυὲς ἀθρόως κηρυττόμενον προπαρασκευῆς δίχα τινὸς τὰς ψυχὰς διατεθείσης πρὸς τὴν τοῦ λόγου παραδοχὴν καὶ πειθούσης ὑπερφυὲς μὲν οὐδὲν ἧττον τὸ πρᾶγμα νομίζειν, τῷ γε μὴν συνεχεῖ τῆς ὑποφωνήσεως ἐθιζούσης μὴ δυσχεραίνειν, εἰ ἀληθῶς κηρύττοιτο τὸ μόνον ἔχον σῴζειν τὴν φύσιν αὐτὸ τοῦτο, τὸ ὑπερφυὲς εἶναί τε καὶ ὀνομάζεσθαι. Νῦν δ᾽ ὅσοις ὁ λόγος οὐχ ὑποδέδεκται ἀναπολόγητοι πάντως ὑπολείπονται μηδεμιᾶς ἀποφυγῆς εὐπροσώπου καταλειφθείσης αὐτοῖς. Διὰ τοῦτο προκαταβάλλεται προφήτας, αὐτὸς ἐπιδημεῖ, ἀποστόλους ἐκλέγεται, εὐαγγελι-

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

στὰς ἀπεργάζεται, μάρτυρας ἀποτελεῖ, διδασκάλους προχειρίζεται ἄλλοις τε καὶ μάλιστα τοὺς ἰσαρίθμους τουτουσὶ τῇ μακαρίᾳ καὶ ὑπερουσίῳ Τριάδι, δι᾿ ὧν ἁπάντων κρατύνεται τὸ μυστήριον καὶ ἡ βελτίωσις τῇ ἀνθρωπίνῃ πραγματεύεται φύσει.

Τρία τοίνυν ὄργανα ταυτί, τῷ μεγέθει τοῦ πράγματος προσφυέστατα, προνοίας ἀρρήτοις λόγοις ἐμπαρασχεθέντα τῇ φύσει, βοήθημα ταύτῃ μέγιστον γίνεται καὶ σφόδρα κατὰ σκοπὸν τῆς οἰκονομίας τῷ μυστηρίῳ, κινούμενα μὲν εὐσήμως τῷ πνεύματι, τῆς σωτηρίας δὲ τὸν λόγον εὐήχως πᾶσιν ὑποφωνοῦντα καὶ τοῦτο τῇ διδασκαλίᾳ γινόμενα, ὅπερ τῇ σαρκώσει τοῦ Θεοῦ λόγος ὁ προαιώνιος· ὃς γὰρ δὴ σκοπὸς τῇ τρισυποστάτῳ καὶ ὑπερουσίῳ θεότητι τῆς οἰκονομίας, ὁ αὐτὸς τῇ τριάδι τῶν ἁγίων τοῦ λόγου καὶ τῆς διδασκαλίας. Καὶ εἰ μὴ σύμπας ὁ κόσμος οὐδὲν ἧττον καὶ διὰ τῆς διδαχῆς αὐτῶν σώζοιτο, ὡς πᾶσαν ἔχειν γλῶσσαν ἐξομολογεῖσθαι Κυρίῳ Ἰησοῦ Χριστῷ εἰς δόξαν θεοῦ πατρός, οὐδὲν ἡγοῦντο σφίσιν εἶναι τὸ κατορθούμενον· οὐ γὰρ ἠγάπησαν, εἰ σώζοιντο μόνοι, ἀλλὰ εἰ μὴ καὶ τοῖς ἄλλοις ἅπασι τοῦτ᾿ αὐτὸ περιπραγματευθείη. Οὐδὲν ἧττον καὶ δι᾿ αὐτοὺς ἡδέως ἂν εὗρες τὸ τοῦ μακαρίου λέγοντας Παύλου βούλεσθαι ἀνάθεμα εἶναι ὑπὲρ τῆς τῶν ἀδελφῶν, τῶν κατὰ σάρκα συγγενῶν, σωτηρίας. Ἐντεῦθεν τί μὲν οὐκ ἔλεγον, τί δ᾿ οὐκ ἐποίουν, ποίαν οὐ διηρεύνησαν γραφήν, τί τῶν πάντων παρῆκαν ἀκίνητον; Οὐ δημιουργίας ἀνεκάλυπτον λόγους, ὡς τὸ πᾶν ἐξακριβούμενοι τόδε συνέστη, καὶ δι᾿ ἥν τινα τὴν αἰτίαν τὰ ἐν τῷ παντὶ διεξιόντες θαύματα κατὰ μέρος καὶ ἀπὸ τῶν ὁρατῶν ἐπὶ τὴν τοῦ ἀοράτου θεοῦ βιβάζοντες γνῶσιν; Οὐ διηρεύνων προφήτας ἀκριβέστερον τῶν τὰς χρυσίτιδας περιεργαζομένων φλέβας συμπροφητεύοντες αὐτοῖς καὶ τὸν ἐν βάθει τῆς αὐτῶν διανοίας κεκρυμμένον ἀνακαλύπτοντες πλοῦτον; Οὐκ εὐαγγελισταῖς συνευηγγελίζοντο τῶν εὐαγγελίων πολλαπλασιάζοντες τὴν τετράδα καὶ τῇ ἑρμηνείᾳ τούτων εἰς τὰ τοῦ κόσμου παρατείνοντες πέρατα; Οὐ συνεπέστελλον ἐπιστέλλουσι τοῖς τοῦ Χριστοῦ μαθηταῖς καὶ ταῖς ἐπιστολαῖς ὥσπερ ἐνεβάκχευον τὸν νοῦν ἐξετάζοντες αὐτῶν καὶ τὰ τέως πρὸ αὐτῶν λανθάνοντα πᾶσι δῆλα ποιοῦντες καὶ προτιθέντες εἰς φῶς οὕτως ἀκριβῶς ὡς δοκεῖν συμφθεγγομένους αὐτοῖς ἔχειν καὶ τὸν λόγον συνεκπονοῦντας τοὺς αὐτὰς ἐπιστέλλοντας; Οὐ τῶν ἐν ἀποκαλύψεσιν ἀπορρήτων ὑποφητεύοντες ἦσαν τὰ θαύματα, ἐπὶ μεῖζον τοὺς προσέχοντας ἀνεγείροντες θαῦμα καὶ ἔκπληξιν; Οὐ πᾶσα ἡ Γραφὴ λειμὼν ὥς τις εὐανθὴς καὶ ἄλλος ὑφηπλώθη σφισι παράδεισος κατ᾿ ἐξουσίαν ἑκάστοτε τὸ κατὰ βούλησιν αἱρουμένοις, τόν τε καρπὸν τοῦ πνεύματος ἀπὸ παντὸς τοῦ ἐν αὐτῷ φυτοῦ δρεπομένοις, γνώσεώς τε παρατιθεῖσι τράπεζαν πᾶσι καὶ πανδαισίαν παρασκευάζουσιν ἄφθονον, ὅθεν οὐκ ἔστιν οὐδένα καρποῦ θανατηφόρου πεῖραν λαβεῖν; Ἔτι τε πρὸς τούτοις οὐ θεολογίας ἐνηγάλλοντο μυστηρίοις καὶ κανόνας ὁσημέραι παρεδίδουν καὶ τύπους, δι᾿ ὧν ἔνεστι τοῦ ἀπλανοῦς ἔχεσθαι καὶ τὰς πλάνας ἐξελέγχειν τῶν ἀντιθέτων, τόν τε δόλον ἐκκαλύπτειν

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

αὐτῶν καὶ τὴν λύμην ἀποδιώκειν καὶ ὡς ἰὸν θανατηφόρον ἀποφεύγειν τὴν μετὰ τῆς μωρανθείσης σοφίας συζήτησίν τε καὶ ἔρευναν; Οὐ τοὺς ἠθικοὺς διεξῄεσαν καθ᾿ ἑκάστην τὸν τῶν ἀνθρώπων βίον ῥυθμίζοντες καὶ παιδαγωγοῦντες ἐπὶ τὴν εὐαγγελικὴν καθαρότητα πάντας; Οὐ παλαιῶν ἀνδρῶν εὐδοκιμηκότων ἱστορίας ἀνέλεγον, οὐ μικρὰν ἐντεῦθεν ἀπὸ τῆς παραθέσεως προτείνοντες τὴν ὠφέλειαν; Οὐχ ἁγίων μνήμας ἐκόσμουν, οὐ μαρτύρων πανηγύρεις ἐφαίδρυνον; Ἐῶ γὰρ λέγειν ὅτι καὶ πολλοὺς τοῖς λόγοις ἀπετέλεσαν μάρτυρας ἀκριβέστερον πρὸς τοὺς ἀγῶνας ὑπαλείφοντες τοῖς προτρεπτικοῖς ἢ οἱ παιδοτρίβαι τοὺς γυμναστάς. Οὐ καὶ νῦν ἔτι πάντα ταῦτα καὶ εἰσὶ καὶ σὺν Θεῷ, θαρρῶ λέγειν, ἔσονται ταῖς βίβλοις ὡς παρόντες ἀεὶ λαλοῦντες καὶ ὅπερ ἔτι τῷ βίῳ τῷδε περιόντες, τοῦτο καὶ νῦν ὑπερκοσμίως ζῶντες ταύταις γινόμενοι. Καὶ πρόσεστι τὸ κεκαλλωπισμένον τῶν λόγων καὶ εὔοσμον, ὡς μηδὲ κατὰ τοῦτο τὰς τῶν φιλοκάλων ἀκοὰς ἀποκναίεσθαι, ἀλλ᾿ ἔχειν ἡδύνειν καὶ τῷ ῥυθμῷ τοῦ λόγου ὡς δή τινι μουσικῇ ἁρμονίᾳ τὴν ἀκοήν, οἷς καὶ τοῦτο διὰ σπουδῆς. Καὶ οὐχ ἧττον ἄν τις τῶν φιλολόγων τούτων ἥσθείη τοῖς λόγοις καὶ τέχνην ἅμα καὶ κάλλος ἐξακριβώσαιτο σὺν τῷ πανταχοῦ λαμπρῷ καὶ δοκίμῳ ἢ τοῖς Ἰσοκράτους καὶ Πλάτωνος καὶ εἴ τις ἄλλος κατ᾿ Ἰσοκράτην καὶ Πλάτωνα. Ἐχρῆν γὰρ καὶ τοῦτο προσεπιγενέσθαι σφισίν, ἵν᾿ ἔχοιεν τὴν σφετέραν εὐγλωττίαν τοῖς μὲν σὺν τῷ ὠφελίμῳ καὶ ταύτην ἐπιζητοῦσιν, ὥσπερ ἄλλο τι δῶρον προτείνειν, μετὰ ταύτης δ᾿ ἀντιτείνειν πρὸς τοὺς ἐπὶ ταύτῃ μέγα φρονοῦντας καὶ τοὺς ἄλλως τῶν λόγων ἔχοντας, κἂν τὰ κάλλιστα προτείνωνται, διασύροντας. Οὕτω διὰ πάντων τὰ τῆς ὠφελείας προβάλλονται. Οὕτω κατὰ τὸν ἀπόστολον πᾶσι πάντα γεγόνασιν, ἵνα πάντας, ἢ τούς γε πλείους, κερδήσωσι καὶ λαὸν περιποιήσωνται περιούσιον τῷ Κυρίῳ. Ἂν ἀσθενῇ τις, μὴ δυσχεραίνειν παρακινοῦσι τῇ νόσῳ φάρμακον ὥσπερ τὸν οἰκεῖον ἐπιχέοντες λόγον. Ἂν πενίᾳ πιέζηται, τοὺς τῶν πλουτούντων αὐτῷ θησαυροὺς ὑπανοίγουσιν. Ἂν ἄλλως κακοπαθῇ, πρᾴως φέρειν πείθουσι τὸ δεινὸν τὴν ἀπὸ τῶν θλίψεων εἰωθυῖαν ἐγγίνεσθαι ταῖς ψυχαῖς ὠφέλειαν προδεικνύντες, εἰ μὴ δυσανασχετοίη τις πρὸς αὐτάς. Ἠδίκηταί τις; Οἱ δὲ τὴν ψυχὴν παθόντες οὐκ ἀνέχονται μὴ οὐχὶ βεβοηθηκέναι γε τῷ ἠδικημένῳ. Ἐπλεονέκτησε καὶ τῶν ἀλλοτρίων ἐπεθύμησε καὶ τὰ μηδὲν αὐτῷ προσήκοντα σπουδὴν ἔσχηκε κτήσασθαι; Οἱ δὲ τὴν κακίαν αὐτοῦ στηλιτεύουσι καὶ οὐκ ἐῶσιν ἀλλοτρίων ἐπιχαίρειν κακοῖς. Βλάσφημον ἠκόνησέ τις γλῶσσαν ὡς ῥομφαίαν κατὰ Θεοῦ; Οἱ δὲ τὴν μάχαιραν τοῦ Πνεύματος κατ᾿ αὐτοῦ, ὅπερ ἐστὶ ῥῆμα Θεοῦ. Ἁπαξαπλῶς δ᾿ εἰπεῖν, οἷά τις ἰατρὸς σοφὸς τὸ λογικὸν ἑκάστῳ καταλλήλως πόμα κιρνῶσι καὶ δεινὸν μὲν οὐδέν, ὅπερ οὐκ ἐξορίζουσι πόρρω, παντὸς πιέζοντος, ἀπαλλάττοντες πάντας, χρηστὸν δ᾿ οὐδέν, ὅπερ οὐκ ἀντεισάγουσιν, εἰ δὲ βούλει καὶ προεισάγουσι κατὰ τοὺς τὰ προφυλακτικὰ μηχανᾶσθαι δεινῶς ἔχοντας, οἳ οὐ παροῦσαν μόνον ἐξελαύνουσιν, ἀλλὰ καὶ μέλλουσαν τὴν νόσον προαναστέλλουσι τοῖς μὲν ἐπανακτώμενοι τὴν ὑγείαν, τοὺς δὲ οὐδὲ νοσῆσαι τὸ παρά-



Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

παν παρασκευάζοντες. Ὃς δὴ τρόπος ἰατρείας ἄριστος καὶ τελειότατος καὶ τοῖς ἁγίοις διαφερόντως ζηλωθείς τε καὶ σπουδασθείς, ὅσῳ καὶ περὶ μειζόνων τούτοις ἢ ἐκείνοις τὸ σπούδασμα, εἰ δὴ σώματος ψυχὴ μείζων καὶ τῆς σωματικῆς ὑγείας ἡ κατὰ ψυχὴν πραγματευομένη καὶ ζητουμένη. Τούτοις ἁρμόττον οὐχ᾽ ἧττον ἢ περὶ ὧν ἄλλων εἴρηται διὰ ταῦτα τὸ εἰς πᾶσαν ἐξελθεῖν τὴν γῆν τὸν φθόγγον αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἐκ γὰρ τῆς τριφθόγγου σάλπιγγος αὐτῶν ὁ σύμπας περιεχεῖται κόσμος, ἀφ᾽ ἧς ἔξεστιν ἑκάστῳ τὰ πρόσφορα καταλλήλως ἐκλέγεσθαι. Τούτοις προσᾴδεσθαι προσῆκον τὸ ἐσκόρπισαν, ἔδωκαν τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτῶν μένει εἰς τὸν αἰῶνα. Τί γὰρ εἰ μὴ χρυσός τε καὶ ἄργυρος καὶ εἴ τι τούτοις παραπλήσιον τὸ σκορπιζόμενον τε καὶ διδόμενον παρ᾽ αὐτῶν; Οὐδὲ γὰρ οὐδ᾽ ἦν τι τοιοῦτον αὐτοῖς τὸ πᾶν ὅσον περ ἦν προεκκεχῦσθαι, ἀλλά τι πολὺ τιμιώτερον ἐκείνων χρῆμα καὶ οὐδ᾽ ὅσον ἐξεῖναι παραβαλεῖν ἡ τῶν σωτηρίων λόγων ὑφήγησις. Καίτοι τούτοις αὐτοῖς οὐδὲν ἧττον κακεῖνο γεγενημένον ἐστί. Τὴν γὰρ τῶν πενήτων χεῖρα τῷ χρυσῷ τῶν πλουτούντων ὑφήπλωσαν καὶ πεινῶσι διέθρεψαν ἄρτον, ὃν ἡ τῶν πλουσίων ἔφερεν ἐκ περισσοῦ τράπεζα καὶ τούτων τὰς ἀποθήκας τοῖς μὴ κεκτημένοις ἀνέῳξαν πείθοντες μὴ νομίζειν οἰκεῖα τὰ τοῖς χρήζουσιν ὀφείλοντα διανέμεσθαι, ἀλλὰ τῶν δεομένων εἰσηγούμενοι δεῖν ὑπολαμβάνειν εἶναι τὰ παρ᾽ αὐτοῖς εἰς περιττὸν ἀποκείμενα. Καί πως ὁ τῶν ἁγίων λόγος ἀνυσιμώτερος πένησιν ἢ τῶν ἐχόντων οἱ θησαυροί· δι᾽ ἐκείνους μὲν γὰρ ὁ πολὺς ἄργυρος καὶ χρυσός, ὁ μάργαρός τε καὶ ὁ λίθος ὁ τίμιος καὶ πᾶσα ἄλλη πολυτάλαντος κτῆσις, ὅθεν οἴονταί τινες ὡς ἔκ τινος στοιχείου συνίστασθαι τὸ εὐδαιμονεῖν, οὐδὲν τῆς ἀτιμοτάτης διενήνοχεν ὕλης, ἄχθος ἐναποκείμενα τῇ γῇ περιττὸν καὶ εἰς οὐδὲν τῶν πάντων ἀνύσιμον, εἰ μὴ τοῖς κεκτημένοις καὶ σφόδρα ἐπιζήμιον ψυχικῆς ἀπωλείας γινόμενον πρόξενον πρὸς τὸ μηδὲ τῆς παρούσης ζωῆς ἀταράχως ἐᾶν ἀπολαύειν ὑφορωμένοις μὴ λαθόν τι τὴν φυλακὴν αὐτῶν εἰς τὰ ἔξω παραρρυῇ, τῶν τε τοιχωρύχων τὰς ἐπιβουλὰς δεδιότας καὶ τῶν ἄλλως αὐτοῖς ἐνεδρευόντων τὰς μηχανάς, διὰ δὲ τούτους ὁ πολὺς εἰς δέον πλοῦτος ἐκκέχυται καλῶς διανεμηθείς, ὁ τέως πρὶν τηρούμενος σφαλερῶς, καὶ κενωθεὶς μὲν ἐν ταῖς πενομένων κοιλίαις, ὡς δὲ τῷ Θεῷ παρασχεθεὶς δάνειον ὀφειλέτην αὐτὸν καθιστῶν ἀποδίδοντα μυριοπλάσιον καὶ τῆς οὐρανίου βασιλείας αὐτοὺς παρασκευάζων κληρονομεῖν. Εἰκότως δὴ οὖν αὐτοῖς προσᾴδεσθαι προσήκειν ἐλέγομεν τὸ ἐσκόρπισαν, ἔδωκαν τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτῶν μένει εἰς τὸν αἰῶνα. Ὁ γὰρ αὐτῶν, ὡς εἴρηται, λόγος τοὺς τῶν πλουτούντων θησαυροὺς καὶ τὰς ἀποθήκας τοῖς δεομένοις ἐκένωσε καὶ τούτους μὲν τοῦ λιμοῦ, τῆς δὲ θηριωδίας ἐκείνους καὶ ψυχικῆς ἀπήλλαξε λύμης, τὴν αὐτῶν ὠμότητα μεταποιήσας πρὸς ἡμερότητα καὶ τὸ ἀμετάδοτον ἐπὶ τὸ μεταδοτικὸν μεταστήσας. Τούτοις οὖν τὸ πλέον, μᾶλλον δὲ τὸ πᾶν τῆς τοιαύτης λογιστέον διανομῆς· εἰ μὴ γὰρ διὰ τούτους, ἔκειτ᾽ ἂν ἀκίνητον καὶ ἀνενέργητον τὸ παχὺ τοῦ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

πλούτου φορτίον, αὐτὸ μὲν ἐφ' ἑαυτοῦ πολλαπλασιαζόμενον, μηδενὶ δὲ μηδὲν λυσιτελοῦν τὸ παράπαν. Ταυτὶ δὲ σφίσιν ἐκ τῆς τοῦ Εὐαγγελίου πάντως ὑπῆρξε δυνάμεως· τὴν γὰρ εὐαγγελικὴν ὑπαναγινώσκοντες ἑκάστοτε ῥῆσιν καὶ ταύτην ἐπεξηγούμενοι, οὐδὲ γὰρ οὐδ' ἠνείχοντό ποτε τῶν εὐαγγελικῶν οὐδενὶ ῥημάτων ἀφίστασθαι, θᾶττον γὰρ ἂν αὐτοῖς ἐπέλιπε τὸ ζῆν ἢ τῆς εὐαγγελικῶς ἀμνημονῆσαι δυνάμεως. Ταύτην τοίνυν ἐπεξηγούμενοι καὶ τὴν παρὰ τῆς ἄλλης ἁπάσης θεοπνεύστου Γραφῆς ἐπιφερόμενοι συμμαχίαν πείθειν εἶχον, ὅσους αὐτοῖς ὁ τῆς διδασκαλίας ἐνεσπείρετο λόγος. Καὶ καθηγοῦντο μὲν αὐτοὶ τοῦ λόγου προσεπαγρυπνοῦντες κατὰ τὸν ἀπόστολον ὑπὲρ τῶν ψυχῶν τῶν ἀκροωμένων, ὡς λόγον ἀποδώσοντες ὑπὲρ αὐτῶν, οἱ δὲ ἐπείθοντο τῇ τῶν λόγων ἴυγγι καὶ τῇ τοῦ Πνεύματος κατακηλούμενοι χάριτι, συμβούλῳ δεξιῷ καὶ Παύλῳ χρώμενοι, πείθεσθαι λέγοντι τοῖς ἡγουμένοις καὶ ὑπείκειν αὐτοῖς ὡς τῶν ψυχῶν αὐτῶν ὑπεραγρυπνοῦσι καὶ λόγον ἀποδώσουσιν ὑπὲρ αὐτῶν.

Ἐξηγοῦντο δὲ τὰ τῆς Γραφῆς ἁπάσης οὐ κατὰ τοὺς ἑτεροδιδασκαλοῦντας, τοὺς δεινοὺς τῆς ἀληθείας σπαράκτας, τοὺς λύκους ὄντας καὶ ποιμένων ἀφ' ἑαυτῶν ὑφαρπάζοντας τάξιν καὶ διὰ τῆς αὐλῆς ὑπερβαίνοντας ἐπιβούλως καὶ λῃστρικῶς, ἀλλ' ὡς ὑπαγορεύει τὸ Πνεῦμα τὸ τῆς ἀληθείας βάθος ἀνερευνῶντες καὶ συνιστῶντες καὶ ποιμένες ἀληθινοὶ χρηματίζοντες, αὐτοί τε διὰ τῆς θύρας εἰς τὸ Εὐαγγέλιον εἰσιόντες καὶ τοὺς ἄλλους εἰσάγοντες, τήν τε ψυχὴν ὑπὲρ τῶν προβάτων τιθέμενοι καὶ τὸ ποίμνιον τῆς ἁρπαγῆς τῶν λύκων καὶ λύμης ῥυόμενοι, ὡς ἐξεῖναι καὶ περὶ αὐτῶν τῷ λόγῳ τῆς ὁμοιώσεώς τι καὶ μεθέξεως λέγειν, ὃ περὶ ἑαυτοῦ ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριος εἴρηκεν· οὗτοί εἰσιν οἱ καλοὶ ποιμένες, οἱ ἐπὶ νομὴν σωτήριον τὸ ποίμνιον ἄγοντες, οἱ τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων τιθέντες, οἷς ἀκολουθεῖ τὸ ποίμνιον τῷ τὴν φωνὴν αὐτῶν ὡς ποιμένων ἐπιγινώσκειν, ἀποστρέφεται δὲ τοὺς ἀλλοτρίους τῷ μὴ τὴν φωνὴν εἰδέναι τῶν ἀλλοτρίων. Ποσάκις ὑπὸ πόσων ἐπεβουλεύθησαν. Ποσάκις ὑπερήθλησαν τοῦ Εὐαγγελίου. Ποσάκις διωγμοὺς καὶ θλίψεις ὑπήνεγκαν μαχόμενοι δυνάσταις, βασιλεῦσι, τυράννοις, αὐτοῖς τοῖς κοσμοκράτορσι, ταῖς ἀρχαῖς τε καὶ ταῖς ἐξουσίαις τοῦ σκότους, ἵνα ἐξείη μηδαμοῦ τοῦ τῆς ἀληθείας σφάλλεσθαι λόγου σφᾶς καὶ τὸ ποίμνιον, ὑπὲρ οὗ τιθέναι τὴν ψυχὴν εἵλοντο. Καὶ ἐν οὐδενὶ οὐδέποτε ἀγενὲς οὐδὲν οὐδὲ διενοήσαντο· οὐ γὰρ ἀνεκηρύττοντο λαμπροὶ νικηταὶ κατὰ πάντων, ὡς νενικηκότες τὸν κόσμον κατὰ τὸν οἰκεῖον δεσπότην, ἀλλ' ἐν Κυρίῳ τε ἐνεδυναμοῦντο καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. Καὶ μαρτυρίῳ μὲν οὐκ ἐτελειώθησαν, ὁ δὲ σύμπας αὐτοῖς βίος μαρτύριον, οἷς ἔφημεν καθ' ἑκάστην τε παλαίουσι καὶ διακαρτεροῦσι γενναίως. Ἔνθεν τοι καὶ ἀρχιερεῖς κατὰ τὸν πρῶτον ἐχρημάτισαν ἀρχιερέα Χριστὸν ὁσίως τε καὶ καθαρῶς ἱερουργοῦντες τὸ Εὐαγγέλιον καὶ λατρείαν ἄμωμον ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας ἀναφέροντες τῷ Θεῷ, τῶν ἁμαρτωλῶν τε καθάπαξ ἀποχωρήσαντες ἑαυτοὺς καὶ ὅλοι ὅλων τῶν κατ' οὐρανοὺς θεαμάτων γεγενημένοι καὶ τὴν ψυχὴν ὑπὲρ τῆς τοῦ ποιμνίου

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

ταὐτὸν δ᾽ εἰπεῖν καὶ τῆς τοῦ κόσμου σωτηρίας παντὸς ἑτοίμως ἔχοντες προΐεσθαι καὶ προϊέμενοι. Εἰ γὰρ ταῦτα γνωρίσματα τοῦ ἀληθινοῦ καὶ πρώτου ποιμένος καὶ ἀρχιερέως Χριστοῦ, ἐζήλωσαν δὲ τοῦτον καὶ οὗτοι καὶ ὡς ἐφικτὸν ἀνθρώπῳ μεμίμηνται τῷ τὴν σάρκα μὲν σταυρῶσαι σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, τὴν δὲ ψυχὴν ὡς ἱερεῖον ἄμωμον τῷ Θεῷ καθαρὰν παραστῆσαι καὶ νεκρῶσαι μὲν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, Χριστοῦ δὲ μέλη γενέσθαι, τοῦ εἰς τὸν αἰῶνα ζῶντος, ὃς τῶν μελῶν ἐστι τε καὶ λέγεται κεφαλή. Πῶς οὐχὶ κατὰ τὸν πρῶτον ἐχρημάτισαν ἀρχιερέα Χριστόν, ὡς καὶ σφίσιν ἁρμόττειν μετ᾽ ἐκεῖνον καὶ δι᾽ ἐκεῖνον τὸ τοιούτους ἡμῖν λέγεσθαι πρέπειν ἀρχιερεῖς. Οἱ γὰρ αὐτοὶ θύται τε καὶ θῦμα γεγόνασι, θύοντες μὲν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας τὸν ἀμνὸν τοῦ Θεοῦ, τὸν πάντοτε θυόμενον καὶ μηδέποτε δαπανώμενον, Θεῷ τε μεσιτεύοντες καὶ ἀνθρώποις καὶ τῷ δημιουργῷ τοῦ κόσμου τοὺς ἐν κόσμῳ πταίοντας καταλλάττοντες; Θῦμα δὲ γενόμενοι τῷ τὴν προσευχὴν εἰς Θεὸν ὡς θυμίαμα κατευθύνειν καὶ προσφορὰς εὐπροσδέκτους ἑαυτοὺς ἀπεργάζεσθαι, οὓς οὕτως ἔχοντας οὐκ ἔστιν ὅστις τῆς τῶν ἀληθινῶν ἀρχιερέων, τῶν ἡμῖν πρεπόντων, ὥς φησιν ὁ ἀπόστολος, προσηγορίας ἀπαξιώσειεν εὐσεβεῖν ᾑρημένος. Οὔκουν οὐδ᾽ ἀμφιγνοεῖ τῶν ἁπάντων οὐδεὶς μὴ οὐχὶ ταῦθ᾽ οὕτως ἔχειν, ὡς ὁ λόγος ὑπαγορεύει, πρὸ δὲ τοῦ λόγου τὰ πράγματα μᾶλλον, ἀλλὰ πάντες, ὡς εἰπεῖν, ἓν τοῦτο συνομολογήσαιεν ἄν, ὡς δὴ καὶ συνομολογοῦσιν, εἰ καὶ τἄλλα διαφωνεῖεν, εἰ μή τις οὕτως ἀμβλύς ἐστι καὶ μυωπάζων περὶ τὸ φῶς καὶ περὶ τὴν σοφίαν ἀνοηταίνων, ὡς μὴ τὴν ἀλήθειαν ἀποδιαιρεῖν εἰδέναι τοῦ ψεύδους καὶ τὸ μεταξὺ φωτὸς διαγινώσκειν καὶ σκότους. Ἀλλ᾽ ἐκεῖνος μὲν εἰ καί τις ὅλως τῶν ἁπάντων τοιοῦτός ἐστι τὴν ἑαυτοῦ βαδιζέτω· οὐ γὰρ οὐδὲν ὅ γε τοιοῦτος λυμανεῖται τῇ ἀληθείᾳ, τοὺς δ᾽ ἁγίους ὁ τοῦ πατρὸς μονογενὴς λόγος καὶ τοῦ τῆς ἀρχιερωσύνης ἀληθῶς αὐτῷ κοινωνεῖν ὀνόματός τε καὶ πράγματος οὐκ ἂν ἀπαξιώσει δήπουθεν, ἀλλ᾽ ὡς τοῦ τῆς υἱότητος ὀνόματός τε καὶ χρήματος αὐτοὺς ἀπέφηνε κοινωνοὺς καὶ ἀδελφοὺς οὐκ ἐπησχύνθη καλεῖν, ἀπαγγελῶ λέγων τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, οὕτω καὶ ἀρχιερεῖς αὐτοὺς καλεῖσθαι γνησίως οὐκ ἀποναίνεται, μᾶλλον μὲν οὖν, εἰ μή τις τοῦθ᾽ ὅπερ εἰσὶν αὐτοὺς ἐθέλοι κατονομάζειν, τοῦτον ἀποστρέφεται καὶ μισεῖ τὸ ψεῦδος προτιμῶντα τῆς ἀληθείας. Αὐτὸς δὲ καὶ φῶς αὐτοὺς ὀνομάζεσθαι βούλεται, εἴπερ εἰσιν αὐτοῦ μαθηταί, καὶ κλήματα, φῶς ὑπάρχων ἐκ φωτὸς καὶ ἄμπελος ἀληθινή· ἡμεῖς γάρ, φησίν, ἐστὲ τὸ φῶς τοῦ κόσμου καὶ αὖθις, ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα, ὧν καὶ γεωργός ἐστιν ὁ πατήρ. Καί που, πολλαχοῦ δὲ μᾶλλον, μακαρίους προσείρηκεν, ὡς τὸν τοῦ Θεοῦ λόγον ἀκούοντας προθύμως καὶ φυλάξαντας· οὐ γὰρ ἤκουσαν μέν, οὐκ ἐφύλαξαν δέ, οὐδὲ ἐφύλαξαν μέν, οὐκ ἐδίδαξαν δέ, ἀλλ᾽ ἐδίδαξαν μὲν ὅ,τι περ ἐφύλαξαν, ἐφύλαξαν δὲ ὅ,τι μὴ παρέργως ἤκουσαν. Μὴ παρέργως δ᾽ ἀκούσαντες πτωχοὶ μὲν ὑπῆρξαν τῷ πνεύματι καὶ πραεῖς, πενθοῦντές τε καὶ σὺν τῷ διψᾶν ἀεὶ τὴν δικαιοσύνην πεινῶντες, ἐλεήμονές τε

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

καὶ καθαροὶ τὴν καρδίαν καὶ εἰρηνοποιοὶ καὶ δικαιοσύνης ἕνεκα δεδιωγμένοι. Ἀνέῳγε δέ σφισιν ἡ ἐν οὐρανῷ βασιλεία καὶ παρακέκληνται, ὑφήπλωταί τε ἡ ἐν οὐρανοῖς εἰς κληρονομίαν γῆ, ἥντινα δὴ τὴν γῆν αὐτὴν νοητέον, καὶ τῷ οὐρανίῳ ἐχορτάσθησαν ἄρτῳ ἐλεηθέντες τε καὶ Θεὸν ἰδόντες, αὐτοῦ τε κέκληνται υἱοὶ καὶ ἐν οὐρανοῖς αὐτῷ συμβασιλεύουσιν εἰς αἰῶνα. Ὡς γὰρ ἐν κύκλῳ τῇ τῶν μακαρισμῶν αὖθις ἀρχῇ τὸ πέρας συνάπτεται, οὗ περ ὡς πρὸς κέντρον ἓν τὰ πανταχόθεν νένευκε πέρατα, τὴν μακαριότητα καὶ τὸν μισθὸν τὸν οὐράνιον.

Τοιγαροῦν χαίρουσί τε καὶ ἀγαλλιῶνται πολὺν ἀπειληφότες ἐν οὐρανοῖς τὸν μισθόν, τῇ μακαρίᾳ μετὰ παρρησίας παρεστῶτες Τριάδι καὶ τῇ ταύτης θεωρίᾳ ἐμφαιδρυνόμενοι, τῷ κόσμῳ τε παντὶ ταῖς πρὸς αὐτὴν ἐντεύξεσιν αὐτὴν ἱλεούμενοι καὶ πρὸς τὴν τῆς υἱοθεσίας πάντας ἀνακτώμενοι χάριν. Οὗπερ αὐτοὶ μετέσχον, τοῦτο καὶ τοῖς ἄλλοις ᾑρημένοι βραβεύειν καὶ ἣν εἰσεποιήσαντό σφισι πατρίδα τὴν οὐράνιον Ἱερουσαλήμ, τὴν ὄντως τῆς ἀληθινῆς εἰρήνης μητρόπολιν, μᾶλλον δ' εἰς ἣν γνησίαν οὖσαν τὸ κατ' ἀρχὰς ἀποπεσόντες αὐτῆς διὰ τὸν ἀρχηγέτην τοῦ γένους αὖθις ἀναδραμεῖν σπουδάσαντες ἀναδεδραμήκασι πρὸς ταύτην τὸ ὁμόφυλον ἀνέλκοντες πᾶν καὶ ἀπὸ τῆς κάτω συρομένης Βαβυλῶνος, τῆς κοσμικῆς φημι συγχύσεως καὶ περιπλανήσεως, ἐπὶ τὴν ἄνω μεταθέντες Ἱερουσαλήμ, τὴν ἀληθινὴν τῆς εἰρήνης φύλακά τε καὶ πρύτανιν, τὴν μόνην ἄσυλον καὶ ἐσαεὶ διαμένουσαν, ἧς οὐ καθαιρεῖται τὰ τείχη τῷ ταῖς χερσὶν τοῦ ἀοράτου ἐνιδρῦσθαι Θεοῦ, ὃς δὴ πόλις τε καὶ πολιοῦχος καὶ εἰρήνη καὶ εἰρήνης πρύτανις καὶ πάντα μόνος ἐστί. Τῇ μακαρίᾳ τοίνυν ταύτῃ καὶ ὑπερουσίῳ παρεστῶτες Τριάδι, τῶν ἀρχιερέων ἡ ἀοίδιμος καὶ θεία τριὰς χαίρουσι πολὺν ἔχοντες ἐν οὐρανοῖς τὸν μισθόν. Οὗτος δέ ἐστι τὸ τῆς Τριάδος τῇ θεωρίᾳ ἐνήδεσθαι, οὐκέτι μὲν ὡς ἐν ἐσόπτρῳ καὶ αἰνίγματι φωτιζούσης αὐτούς, ὑψηλότερον δέ τινα τρόπον καὶ ἡμῖν ἄγνωστον ἔτι καὶ γλώσσαις οὐ λαλητόν. Κατήργηται γὰρ αὐτοῖς τὸ ἐκ μέρους, λοιπὸν ἐπιγινώσκουσιν αὐτήν, ὡς ὑπ' αὐτῆς ἐπεγνώσθησαν καὶ τῇ ἀκτῖνι τοῦ ἐκεῖθεν ἀποπαλλομένου φωτὸς ἐνατενίζουσιν ἀσκαρδαμυκτί. Οὗτος τε τοίνυν αὐτοῖς ὁ μισθὸς καὶ πρὸς τούτῳ ἡ υἱοθέτησίς τε καὶ ἀποθέωσις. Εἰ δὲ βούλει διὰ ταῦτα μᾶλλον κἀκεῖνο. Ἐντεῦθεν ἀγγέλοις μὲν αἰδέσιμον χρηματίζουσιν, ἀνθρώποις δὲ πλέκειν μὲν ἐφετὸν τὸν στέφανον τῆς εὐφημίας αὐτοῖς, ἀδυνατοῦντας δέ, τῷ μὲν παντὶ παραχωροῦσι καὶ ὑπεξίστανται, ὃ δ' ἐφικτὸν ὅμως ἀφοσιοῦνται τὸν πόθον ἐκ μέρους ἀποπληροῦν ἐμφιλοτιμούμενοι, τὸ θαρρεῖν ἔχοντες ἐκ τοῦ πεποιθέναι ἵλεων αὐτοῖς ἐμβλέπειν τοὺς διὰ τὸ πτωχεῦσαι τῷ πνεύματι πρὸς ὕψος καὶ τὸ ὑπερουράνιον ἐπαρθέντας· πρὸς γὰρ τὴν πρόθεσιν ἀποβλέπουσι καὶ ταύτην ἐπαινοῦσί τε καὶ ἐπιζητοῦσιν, εἰ πάσης καθαρεύει περιπεζίου καὶ ταπεινῆς προσποιήσεως, εἰ δὲ μὴ ἐξικνεῖται τοῦ μεγέθους αὐτῶν πρὸς τὸν τῆς ἁγιότητος λόγον, τοῦτο δὲ οὐκέτι κρίνουσι περιεργάζεσθαι δεῖν. Μᾶλλον μὲν οὖν αὐτοί τε καὶ πάλαι καὶ νῦν

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

οὐδὲν ἧττον ἔχουσιν οὕτως καὶ τοὺς ἄλλους ἅπαντας τοῖς αὐτῶν λόγοις ἐπὶ τὴν ὁμοίαν παρακαλοῦσι διάθεσιν, ὡς τοῦτο πάντως ὂν ὠφέλιμον, τὸ μὴ ὅπερ ἐφικτὸν μεθιέναι καὶ τοῦτο τῷ μὴ τοῦ παντὸς ἐφικνεῖσθαι. Ἐπείπερ εἴ τις ἄλλως διατεθείη τῷ βάρει τῆς ἀπογνώσεως ἄγαν κατενεχθείς, οὐδὲ δυνήσεταί ποτε οὐδ' ἀνανεῦσαι θῦσαί τε τῷ Θεῷ θυσίαν αἰνέσεως καὶ τῷ ὑψίστῳ τὰς εὐχὰς ἀποδοῦναι. Τίς γὰρ ἂν εὑρεθείη λόγος, ποία θυσία, τίς εὐχὴ τοῦ τῆς θεότητος ὅλως ἀξιώματος ἐφαπτομένη, ἢ καὶ τὸ ἔχειν τι προσενεγκεῖν καὶ τοῦτο δῶρον αὐτῆς. Οὐ τοίνυν εἰ μὴ τοῦ παντὸς ἐφικνεῖταί τις καὶ ὅπερ ἐφικτόν, οὐδὲ τοῦτο προσίενται, ἀλλ᾽ οὕτω τῷ ἐκ μέρους χαίρουσι, τῷ πρὸς τὸ πᾶν ἁμωσγέπως εἰδέναι φέρειν, ὡς εἰ καὶ τὸ πᾶν κατεβάλλετο· μιμηταί γάρ εἰσι τοῦ πᾶν, ὃ προσενέγκῃ τις ἐκ πόθου κατὰ πρόθεσιν δεχομένου, ἀλλ᾽ οὐχὶ τοῦ προσαγομένου τὴν ποσότητα κρίνοντος καὶ πρὸς τὴν πρόθεσιν τὰ τῆς ἀντιδόσεώς τε καὶ ἀντιμισθίας ἐπιμετροῦντος. Τοῦτο καὶ ὑμῖν, ὦ μακαρία τῶν ἀρχιερέων τριάς, τῆς παρούσης αἴτιον ἑορτῆς τε καὶ πανηγύρεως καὶ ἡμῖν τοῦ λόγου τοῦδε τοῦ πρὸς ὑμᾶς.

Καὶ δέδεχθε μετ᾽ εὐμενείας αὐτὸν καὶ χάριν ἀντίδοτε, ἧς ἐφιέμεθα μὲν ἡμεῖς, ὑμεῖς δὲ γίνεσθαι εἰώθατε βραβευταί. Θεὸν ἡμῖν ἱλεώσατε, μετάδοτε πρεσβείας καὶ βοηθείας τοῖς εἰ μὴ διὰ ταύτην οὐδ᾽ ἔστι λέγειν, ὅπερ ἂν εἴημεν. Ὑμεῖς γὰρ πρὸς Θεὸν τέταχθε πρέσβεις, ὑμῖν τὸ πνεῦμα τῆς υἱοθεσίας ἐπαναπέπαυται καὶ ἀναγεννήσεως. Ὑμεῖς ἐστε πρὸς πᾶσιν ἔτι τοῖς εἰρημένοις οὐρανοὶ Θεοῦ διηγούμενοι δόξαν καὶ στερέωμα χειρῶν αὐτοῦ ποίησιν ἀναγγέλλον καὶ διὰ τοῦτο αἱ λαλιαὶ ὑμῶν καὶ οἱ λόγοι λαλούμενοι πάντα τὰ τῆς γῆς περιειλήφασι πέρατα. Ὑμεῖς ὄντως ἐστὲ τὰ ἅγια ὄρη, ἐφ᾽ ὧν οἱ θεμέλιοι τῆς ἐκκλησίας πεπήγασι. Τετυρωμένοι γὰρ ὡς στερέμνιοι πρὸς ὑποδοχὴν Θεοῦ καὶ πίονες γεγονότες αὐτὸν ἐσχήκατε τὴν ἐν ὑμῖν οἴκησιν εὐδοκοῦντα. Ὑμᾶς ναοὺς Θεοῦ προσείρηκεν ὁ ἀπόστολος καὶ μέλη ἐκ μέρους, οἷς ὁ Θεὸς ἐνοικήσας καὶ κεφαλὴ γεγονὼς ἔθετο διδασκάλους ἐν τῇ ἐκκλησίᾳ τὸν αὐτοῦ λόγον καταταπιστεύσας ὑμῖν. Ὑμεῖς φωστῆρες ἡλίου δίκην τὰ τῆς γῆς περιαυγάζοντες πέρατα καὶ μιμηταὶ Θεοῦ τὰ πάντα καταφωτίζοντες. Ὡς γὰρ ὁ Θεὸς τὸν ἥλιον ἐπὶ δικαίους καὶ ἁμαρτωλοὺς ἀνατέλλει καὶ ὑμεῖς τὸ τοῦ λόγου καὶ τῆς διδασκαλίας φῶς ἐπὶ πάντας ἀφθόνως κατασκεδάννυτε. Κεφάλαιον ἐπὶ πᾶσιν, ἡ ὑπερούσιος ὑμῖν ἐπαναπέπαυται Τριὰς καὶ διὰ τοῦτο καὶ τὰ πνεύματα ὑμῶν αὖθις ταύτῃ ἐπαναπαύεται. Πᾶν γὰρ ὕψωμα κατὰ τῆς δόξης τοῦ Θεοῦ ἐπαιρόμενον καθελόντες ὥς τινα βαβυλώνια τείχη τῆς κακοδόξου συγχύσεως καὶ περιπλανήσεως, τὴν δὲ τοῦ Θεοῦ παρὰ πᾶσι δόξαν κρατύναντες, τῇ τε Τριάδι δεδιῃτηκότες καλῶς καὶ τῷ κατὰ τὴν οἰκονομίαν ἀπορρήτῳ μυστηρίῳ καὶ ὡς οἰκονόμοι φρόνιμοι τῶν τοῦ Θεοῦ μυστηρίων πάνυ δεξιῶς τὸν διδασκαλικὸν λόγον ταλαντεύσαντες καὶ ζυγοστατήσαντες ἐφ᾽ ἑκάτερα διείλετέ τε τὴν Τριάδα, εἰ θέμις διαιρεῖσθαι, καὶ ὡς αὐτὴ διῄρηται καθ' ἑαυτὴν καὶ συνήψατε πάλιν, ᾗ συνάπτεσθαι πέφυκε, τὸ μὲν τῇ οὐσίᾳ τε καὶ πᾶσι

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84

τοῖς οὐσιώδεσι, τὸ δὲ ταῖς ὑποστάσεσι καὶ ὅσα ταύταις παρακολουθεῖν ἀναγκαῖον πᾶσαν οὕτω σύγχυσιν καὶ διαστολὴν ἀποποιούμενοι μὴ ἐπαινετήν, εἰρήνην δ' ἀντεισάγοντες τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ, ᾗπερ αὐτός τε χαίρει καλούμενος καὶ ὑμεῖς ὑμᾶς αὐτοὺς ἀσπάζεσθε οἰκειοῦν, ᾗ καὶ τρεῖς ὄντες ἑνοῦσθε καὶ αὖθις ἑνούμενοι διακρίνεσθε ὥς καὶ κατὰ τοῦτο τῇ Τριάδι τὴν τριάδα προσήκειν τῇ ὑπερουσίῳ τὴν τῶν ἀρχιερέων. Ἀλλὰ καὶ νῦν ὡς καὶ πάλαι τῆς ἐκκλησίας προέστητε πολεμουμένης κακῶς, εἰρήνην αὐτῇ βραβεύσατε, ἧς μακρὸν ἤδη χρόνον ἐρᾷ στερηθεῖσα. Συνάψατε τὰ μέλη πρὸς ἄλληλα, καθὼς ἂν συνάπτοιτο δεξιῶς ἀπ' ἀλλήλων πάλαι γεγενημένα. Χρήσασθε διαλλακταῖς μὴ τοῖς τὰ τοῦ κόσμου τοῦδε φρονοῦσι καὶ ἐκ τοῦ κόσμου τοῦδε λαλοῦσι· οὗτοι γάρ εἰσιν οὐχ οἱ συνάπτειν εἰδότες, ἀλλ' οἱ διασπᾶν ἐκμαθόντες. Χρήσασθε τοίνυν μὴ τούτοις διαλλακταῖς, ὁρᾶτε γὰρ ὡς μᾶλλον διαιροῦσι καὶ κατατέμνουσιν ἢ συνάπτουσί τε καὶ εἰς μίαν ἁρμονίαν συνάγουσιν, ἀλλὰ τοῖς τὰ τοῦ Θεοῦ μετὰ Θεοῦ, εἴη δὲ καὶ ὑμῶν εἰπεῖν, λαλοῦσι καὶ φρονοῦσι καὶ πράττουσιν, οἳ δὴ καὶ οὕτως κληθεῖεν εἰρηνοποιοὶ καὶ Θεοῦ υἱοί, ὡς τὰ τοῦ Θεοῦ φρονοῦντες καὶ ποιοῦντες καὶ τὸν μαμωνᾶν ἀποχωρίζειν εἰδότες αὐτοῦ. Ἐκεῖνοι δὲ τί τε καὶ τίνος ἂν ὀνομασθεῖεν υἱοί, παρατοῦμαι λέγειν τὸ δύσφημον εὐλαβούμενος ὀνόματι φράζειν, ὅπερ εἰσὶν ἔργῳ καὶ πράγματι. Δότε τῷ λόγῳ τῆς εὐσεβείας στρατιώτας, τοὺς δυναμένους τε καὶ ᾐρημένους τῇ ὑμετέρᾳ χρῆσθαι δεξιῶς πανοπλίᾳ καὶ τῆς πίστεως ὑπερασπίζειν ὑγιῶς καὶ καλῶς μεταχειρίζειν τὴν τοῦ Πνεύματος μάχαιραν. Καίτοι τί ὥσπερ ὑμῖν ἐπιτάττων αἰτοῦμαι ταυτί, ποιεῖτε μὲν ὑμεῖς ἐκ περιουσίας ἅπαντα ταῦτα, οἱ δὲ προσέχειν ὑμῖν ᾐρημένοι οὔπω καὶ νῦν εἰσιν εὑρημένοι. Ὃ καὶ χαλεπώτατον διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν καὶ τὴν ἀγάπην ἐπὶ τοσοῦτον τῶν πολλῶν κατεψύχθαι ὡς μηδὲ εὑρεῖν εἶναι τὸν εἰρηνικῶς τὰ μέλη συνδεῖν μέλλοντα καὶ εἰς μίαν κεφαλὴν τὴν τῶν ἁπάντων συνάγειν Χριστοῦ τῷ ζωτικῷ τοῦ Πνεύματος συνδέσμῳ ταῦτα συσφίγγοντα. Εἰ δὲ μηδέπω καὶ νῦν εἰσιν εὑρημένοι, οὓς ὁ τῆς ἀληθινῆς εἰρήνης, τῆς σὺν τῷ Πνεύματι γινομένης, ἐπιζητεῖ ὁ λόγος, ἀλλὰ ταῖς ὑμῶν πρὸς τὸν Θεὸν ἐντεύξεσιν, ὦ μακαρία τῶν ἀρχιερέων τριάς, δυοῖν γένοιτο θάτερον ἢ τοῖς οὖσιν εἴη χρηστέον μεταβληθεῖσι πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν νῦν γοῦν, εἰ καὶ μήπω πρότερον, ἢ οἱ τοῦτο ποιεῖν μέλλοντες ἀντεισάγοιντο, ἵνα οὕτω ἓν γενόμενοι, συναρμολογηθέντες καὶ εἰς μίαν ἁρμονίαν συναχθέντες τῷ Πνεύματι τὸ παναρμόνιον σὺν ὑμῖν τῆς ὁμονοίας καὶ εἰρήνης ἀνακρούωμεν μέλος, εἰ καὶ ἄλλως ὑμῖν οὐδέν τι προσήκομεν λατρείαν ἄμωμον ἀνατιθέντες τῇ μιᾷ τρισυποστάτῳ Τριάδι καὶ ὑπερουσίῳ καὶ ὑπερηνωμένῃ θεότητι, ᾗ πρέπει δόξα, αἴνεσις, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας ἀμήν.

Κ. ΔΥΟΒΟΥΝΙΩΤΗΣ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 01:14:31 EEST - 18.224.179.84